VTARCHI

PARALLELAE

AD

VM LIBRORVM FIDEM

CCVRATE EDITAE.

NIO STEREOTYPA.

НБ ОНУ імені І.І. Мечникова

НБ ОНУ імені І.І.Мечникова

# PLUTARCHI

# VITAE PARALLELAE.

AD

OPTIMORUM LIBRORUM FIDEM

ACCURATE EDITAE.

807

EDITIO STEREOTYPA.

## TOMUS V.

Insunt: *Cimon*, *Lucullus*, *Nicias*, *Marcus Crassus*, *Sertorius*, *Eumenes*.

LIPSIAE

SUMTIBUS ET TYPIS CAROLI TAUCHNITII.

1829.

Ladenpreis 6 Groschen.

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І. Мечникова
СТУДЕНЧЕСКІЙ
ОТДѢЛЪ

# Κ Ι Μ Ω Ν.

Περιπόλτας ὁ μάντις, ἐκ Θετταλίας εἰς Βοιωτίαν Ὀφέλταν τὸν βασιλέα καὶ τοὺς ὑπ᾽ αὐτῷ λαοὺς καταγαγὼν, γένος εὐδοκιμῆσαν ἐπὶ πολλοὺς χρόνους κατέλιπεν· οὗ τὸ πλεῖστον ἐν Χαιρωνείᾳ κατῴκησεν, ἣν πρώτην πόλιν ἔσχον, ἐξελάσαντες τοὺς βαρβάρους. Οἱ μὲν οὖν πλεῖστοι τοῦ γένους, φύσει μάχιμοι καὶ ἀνδρώδεις γενόμενοι, κατανηλώθησαν ἐν ταῖς Μηδικαῖς ἐπιδρομαῖς, καὶ τοῖς Γαλατικοῖς ἀγῶσιν, ἀφειδήσαντες ἑαυτῶν· λείπεται δὲ παῖς ὀρφανὸς γονέων, ὄνομα Δάμων, παρωνύμιον δὲ Περιπόλτας, πολὺ δή τι καὶ σώματος κάλλει καὶ ψυχῆς φρονήματι τοὺς καθ᾽ αὑτὸν ὑπεραίρων νέους, ἄλλως δ᾽ ἀπαίδευτος καὶ σκληρὸς τὸ ἦθος. Τούτου Ῥωμαῖος, ἡγεμὼν σπείρας τινὸς ἐν Χαιρωνείᾳ διαχειμαζούσης, ἐρασθεὶς, ἄρτι τὴν παιδικὴν ἡλικίαν παρηλλαχότος, ὡς οὐκ ἔπειθε πειρῶν καὶ διδοὺς, δῆλος ἦν οὐκ ἀφεξόμενος βίας, ἅτε δὴ καὶ τῆς πατρίδος ἡμῶν τότε λυπρὰ πραττούσης, καὶ διὰ μικρότητα καὶ πενίαν παρορωμένης. Τοῦτο δὴ δεδιὼς ὁ Δάμων, καὶ τὴν πεῖραν αὐτὴν δι᾽



НБ ОНУ імені І.І. Мечникова

ὀργῆς πεποιημένος, ἐπεβούλευε τῷ ἀνδρί· καὶ συνίστη τῶν ἡλικιωτῶν τινας ἐπ' αὐτὸν, οὐ πολλοὺς, ἕνεκα τοῦ λανθάνειν. Ἀλλ' οἱ σύμπαντες, ἑκκαίδεκα γενόμενοι, χρίονται μὲν αἰθάλῳ τὰ πρόσωπα νυκτὸς, ἐκπιόντες δ' ἄκρατον, ἅμ' ἡμέρᾳ προσπίπτουσι τῷ Ῥωμαίῳ κατ' ἀγορὰν θύοντι· καὶ καταβαλόντες αὐτόν τε καὶ τῶν περὶ αὐτὸν οὐκ ὀλίγους, ἐκ τῆς πόλεως μετέστησαν. Γενομένης δὲ ταραχῆς, ἡ τῶν Χαιρωνέων βουλὴ συνελθοῦσα, θάνατον αὐτῶν κατέγνω· καὶ τοῦτ' ἦν ὑπὲρ τῆς πόλεως ἀπολόγημα πρὸς τοὺς Ῥωμαίους. Ἑσπέρας δὲ τῶν ἀρχόντων, ὥσπερ ἔθος ἐστὶ, κοινῇ δειπνούντων, οἱ περὶ τὸν Δάμωνα παρεισπεσόντες εἰς τὸ ἀρχεῖον, ἀπέσφαξαν αὐτοὺς, καὶ πάλιν ᾤχοντο φεύγοντες ἐκ τῆς πόλεως. Ἔτυχε δὲ περὶ τὰς ἡμέρας ἐκείνας Λεύκιος Λούκουλλος ἐπί τινα πρᾶξιν μετὰ δυνάμεως παρερχόμενος. Ἐπιστήσας δὲ τὴν πορείαν, καὶ τῶν γεγονότων, προσφάτων ὄντων, ἐξέτασιν ποιησάμενος, εὗρε τὴν πόλιν οὐδενὸς αἰτίαν, ἀλλὰ μᾶλλον συνηδικημένην· καὶ τοὺς στρατιώτας ἀναλαβὼν, ἀπήγαγε μεθ' ἑαυτοῦ. Τὸν δὲ Δάμωνα, λῃστείαις καὶ καταδρομαῖς πορθοῦντα τὴν χώραν, καὶ τῇ πόλει προσκείμενον, ὑπηγάγοντο πρεσβείαις καὶ ψηφίσμασι φιλανθρώποις οἱ πολῖται· κατελθόντα δὲ γυμνασίαρχον κατέστησαν, εἶτ' ἀλειφόμενον ἐν τῷ πυριατηρίῳ διέφθειραν. Ἐπὶ πολὺν δὲ χρόνον εἰδώλων τινῶν ἐν τῷ τόπῳ προφαινομένων, καὶ στεναγμῶν ἐξακουομένων, ὡς οἱ πατέρες ἡμῶν λέγουσι, τὰς θύρας ἐνῳκοδόμησαν τοῦ

НБ ОНУ імені І.І. Мечникова

πυριατηρίου· καὶ μέχρι νῦν οἱ τῷ τόπῳ γειτνιῶντες οἴονταί τινας ὄψεις καὶ φωνὰς ταραχώδεις φέρεσθαι. Τοὺς δ' ἀπὸ τοῦ γένους αὐτοῦ (διασώζονται γὰρ ἔνιοι, μάλιστα τῆς Φωκίδος περὶ Στεῖριν) αἰολίζοντες ἀσβολωμένους καλοῦσι, διὰ τὸ τὸν Δάμωνα πρὸς τὸν φόνον ἀσβόλῳ χρισάμενον ἐξελθεῖν.

II. Ἐπεὶ δ' ἀστυγείτονες ὄντες Ὀρχομένιοι καὶ διάφοροι τοῖς Χαιρωνεῦσιν, ἐμισθώσαντο Ῥωμαϊκὸν συκοφάντην, ὁ δ', ὥσπερ ἑνὸς ἀνθρώπου, τὸ τῆς πόλεως ὄνομα κατενεγκὼν, ἐδίωκε φόνου τῶν ὑπὸ Δάμωνος ἀνῃρημένων. Ἡ δὲ κρίσις ἦν ἐπὶ τοῦ στρατηγοῦ τῆς Μακεδονίας· οὔπω γὰρ εἰς τὴν Ἑλλάδα Ῥωμαῖοι στρατηγοὺς διεπέμποντο· οἱ δὲ λέγοντες ὑπὲρ τῆς πόλεως ἐπεκαλοῦντο τὴν Λουκούλλου μαρτυρίαν. Γράψαντος δὲ τοῦ στρατηγοῦ πρὸς Λούκουλλον, ἐκεῖνος ἐμαρτύρησε τἀληθῆ, καὶ τὴν δίκην οὕτως ἀπέφυγεν ἡ πόλις, κινδυνεύουσα περὶ τῶν μεγίστων. Ἐκεῖνοι μὲν οὖν οἱ τότε σωθέντες εἰκόνα τοῦ Λουκούλλου λιθίνην ἐν ἀγορᾷ παρὰ τὸν Διόνυσον ἀνέστησαν. Ἡμεῖς δ', εἰ καὶ πολλαῖς ἡλικίαις λειπόμεθα, τὴν μὲν χάριν οἰόμεθα διατείνειν καὶ πρὸς ἡμᾶς τοὺς νῦν ὄντας· εἰκόνα δὲ πολὺ καλλίονα νομίζοντες εἶναι τῆς τὸ σῶμα καὶ τὸ πρόσωπον ἀπομιμουμένης τὴν τὸ ἦθος καὶ τὸν τρόπον ἐμφανίζουσαν, ἀναληψόμεθα τῇ γραφῇ τῶν παραλλήλων βίων τὰς πράξεις τοῦ ἀνδρὸς, τἀληθῆ διεξιόντες. Ἀρκεῖ γὰρ ἡ τῆς μνήμης χάρις· ἀληθοῦς δὲ μαρτυρίας οὐδ' ἂν αὐτὸς ἐκεῖνος ἠξίωσε μισθὸν λα-



НБ ОНУ імені І.І. Мечникова

βεῖν ψευδῆ καὶ πεπλασμένην ὑπὲρ αὐτοῦ διήγησιν. Ὥσπερ γὰρ τοὺς τὰ καλὰ καὶ πολλὴν ἔχοντα χάριν εἴδη ζωγραφοῦντας, ἂν προσῇ τι μικρὸν αὐτοῖς δυσχερὲς, ἀξιοῦμεν μήτε παραλιπεῖν τοῦτο τελέως, μήτ' ἐξακριβοῦν· τὸ μὲν γὰρ αἰσχρὰν, τὸ δ' ἀνομοίαν παρέχεται τὴν ὄψιν· οὕτως, ἐπεὶ χαλεπόν ἐστι, μᾶλλον δ' ἴσως ἀμήχανον, ἀμεμφῆ καὶ καθαρὸν ἀνδρὸς ἐπιδεῖξαι βίον, ἐν τοῖς καλοῖς ἀναπληρωτέον, ὥσπερ ὁμοιότητα, τὴν ἀλήθειαν. Τὰς δ' ἐκ πάθους τινὸς, ἢ πολιτικῆς ἀνάγκης, ἐπιτρεχούσας ταῖς πράξεσιν ἁμαρτίας καὶ κῆρας, ἐλλείμματα μᾶλλον ἀρετῆς τινος, ἢ κακίας πονηρεύματα, νομίζοντας, οὐ δεῖ πάνυ προθύμως ἐναποσημαίνειν τῇ ἱστορίᾳ καὶ περιττῶς, ἀλλ' ὥσπερ αἰδουμένους ὑπὲρ τῆς ἀνθρωπίνης φύσεως, εἰ καλὸν οὐδὲν εἰλικρινὲς, οὐδ' ἀναμφισβήτητον, εἰς ἀρετὴν ἦθος γεγονὸς ἀποδίδωσιν.

III. Ὁ δ' οὖν Λούκουλλος ἐδόκει σκοποῦσιν ἡμῖν τῷ Κίμωνι παραβλητέος εἶναι. Πολεμικοὶ γὰρ ἀμφότεροι, καὶ πρὸς τοὺς βαρβάρους λαμπροί· πρᾶοι δὲ τὰ πολιτικὰ, καὶ μάλιστα τῶν ἐμφυλίων στάσεων ἀναπνοὴν ταῖς πατρίσι παρασχόντες· ἑκάτερος δέ τις αὐτῶν στήσαντες τρόπαια, καὶ νίκας ἀνελόμενοι περιβοήτους. Οὔτε γὰρ Ἑλλήνων Κίμωνος, οὔτε Ῥωμαίων Λουκούλλου πρότερος οὐδεὶς οὕτω μακρὰν πολεμῶν προῆλθεν· ἔξω λόγου τιθεμένων τῶν καθ' Ἡρακλέα καὶ Διόνυσον, εἴ τέ τι Περσέως πρὸς Αἰθίοπας, ἢ Μήδους καὶ Ἀρμενίους, ἢ Ἰάσονος ἔργον ἀξιόπιστον ἐκ τῶν τότε χρόνων μνήμῃ φερόμενον εἰς τοὺς νῦν

ἀφῖκται. Κοινὸν δέ πως αὐτῶν καὶ τὸ ἀτελὲς γέγονε τῆς στρατηγίας, ἑκατέρου μὲν συντρίψαντος, οὐδετέρου δὲ καταλύσαντος τὸν ἀνταγωνιστήν. Μάλιστα δ' ἡ περὶ τὰς ὑποδοχὰς καὶ τὰς φιλανθρωπίας ταύτας ὑγρότης καὶ δαψίλεια, καὶ τὸ νεαρὸν καὶ ἀνειμένον ἐν τῇ διαίτῃ, παραπλήσιον ἐπ' ἀμφοτέρων ἰδεῖν ὑπάρχει. Παραλείπομεν δ' ἴσως καὶ ἄλλας τινὰς ὁμοιότητας, ἃς οὐ χαλεπὸν ἐκ τῆς διηγήσεως αὐτῆς συναγαγεῖν.

IV. Κίμων ὁ Μιλτιάδου, μητρὸς ἦν Ἡγησιπύλης, γένος Θράττης, θυγατρὸς Ὀλόρου τοῦ βασιλέως, ὡς ἐν τοῖς Ἀρχελάου καὶ Μελανθίου ποιήμασιν εἰς αὐτὸν Κίμωνα γεγραμμένοις ἱστόρηται. Διὸ καὶ Θουκυδίδης ὁ ἱστορικὸς, τοῖς περὶ Κίμωνα κατὰ γένος προσήκων, Ὀλόρου τε πατρὸς ἦν εἰς τὸν πρόγονον ἀναφέροντος τὴν ὁμωνυμίαν, καὶ τὰ χρυσεῖα περὶ τὴν Θρᾴκην ἐκέκτητο. Καὶ τελευτῆσαι μὲν ἐν τῇ Σκαπτῇ ὕλῃ (τοῦτο δ' ἔστι τῆς Θρᾴκης χωρίον) λέγεται, φονευθεὶς ἐκεῖ· μνῆμα δ' αὐτοῦ, τῶν λειψάνων εἰς τὴν Ἀττικὴν κομισθέντων, ἐν τοῖς Κιμωνείοις δείκνυται, παρὰ τὸν Ἐλπινίκης τῆς Κίμωνος ἀδελφῆς τάφον. Ἀλλὰ Θουκυδίδης μὲν Ἁλιμούσιος γέγονε τὸν δῆμον, οἱ δὲ περὶ τὸν Μιλτιάδην, Λακιάδαι. Μιλτιάδης μὲν οὖν πεντήκοντα ταλάντων ὄφλων δίκην, καὶ πρὸς τὴν ἔκτισιν εἰρχθεὶς, ἐτελεύτησεν ἐν τῷ δεσμωτηρίῳ. Κίμων δὲ, μειράκιον παντάπασιν ἀπολειφθεὶς μετὰ τῆς ἀδελφῆς ἔτι κόρης οὔσης καὶ ἀγάμου, τὸν πρῶτον ἠδόξει χρόνον ἐν τῇ

πόλει, καὶ κακῶς ἤκουεν, ὡς ἄτακτος καὶ πολυπότης, καὶ τῷ πάππῳ Κίμωνι προσεοικὼς τὴν φύσιν· ὃν δι᾽ εὐήθειαν φασι Κοάλεμον προσαγορευθῆναι. Στησίμβροτος δ᾽ ὁ Θάσιος, περὶ τὸν αὐτὸν ὁμοῦ τι χρόνον τῷ Κίμωνι γεγονὼς, φησὶν, αὐτὸν οὔτε μουσικὴν, οὔτε ἄλλο τι μάθημα τῶν ἐλευθερίων καὶ τοῖς Ἕλλησιν ἐπιχωριαζόντων ἐκδιδαχθῆναι· δεινότητός τε καὶ στωμυλίας Ἀττικῆς ὅλως ἀπηλλάχθαι, καὶ τῷ τρόπῳ πολὺ τὸ γενναῖον καὶ ἀληθὲς ἐνυπάρχειν, καὶ μᾶλλον εἶναι Πελοποννήσιον τὸ σχῆμα τῆς ψυχῆς τοῦ ἀνδρὸς,

Φαῦλον, ἄκομψον, τὰ μέγιστ᾽ ἀγαθὸν,

κατὰ τὸν Εὐριπίδειον Ἡρακλέα· ταῦτα γάρ ἐστι τοῖς ὑπὸ τοῦ Στησιμβρότου γεγραμμένοις ἐπειπεῖν. Ἔτι δὲ νέος ὢν αἰτίαν ἔσχε πλησιάζειν τῇ ἀδελφῇ. Καὶ γὰρ οὐδ᾽ ἄλλως τὴν Ἐλπινίκην εὔτακτόν τινα γεγονέναι λέγουσιν, ἀλλὰ καὶ πρὸς Πολύγνωτον ἐξαμαρτεῖν τὸν ζωγράφον· καὶ διὰ τοῦτο φασὶν ἐν τῇ Πλησιαναϰτίῳ τότε καλουμένῃ, Ποικίλῃ δὲ νῦν στοᾷ, γράφοντα τὰς Τρωάδας, τὸ τῆς Λαοδίκης ποιῆσαι πρόσωπον ἐν εἰκόνι τῆς Ἐλπινίκης. Ὁ δὲ Πολύγνωτος οὐκ ἦν τῶν βαναύσων, οὐδ᾽ ἀπ᾽ ἐργολαβίας ἔγραφε τὴν στοὰν, ἀλλὰ προῖκα, φιλοτιμούμενος πρὸς τὴν πόλιν· ὥς οἵ τε συγγραφεῖς ἱστοροῦσι, καὶ Μελάνθιος ὁ ποιητὴς λέγει τὸν τρόπον τοῦτον·

Αὐτοῦ γὰρ δαπάναισι θεῶν ναοὺς ἀγοράν τε
Κεκροπίαν κόσμησ᾽ ἡμιθέων ἀρεταῖς.

Εἰσὶ δ᾽ οἳ τὴν Ἐλπινίκην οὐ κρύφα τῷ Κίμωνι, φανερῶς δὲ γημαμένην συνοικῆσαι λέγουσιν, ἀξίου τῆς εὐγενείας νυμφίου διὰ τὴν πενίαν ἀποροῦσαν· ἐπεὶ δὲ Καλλίας, τῶν εὐπόρων τις Ἀθήνησιν, ἐρασθεὶς προσῆλθε, τὴν ὑπὲρ τοῦ πατρὸς καταδίκην ἐκτίνειν ἕτοιμος ὢν πρὸς τὸ δημόσιον, αὐτήν τε πεισθῆναι, καὶ τὸν Κίμωνα τῷ Καλλίᾳ συνοικίσαι τὴν Ἐλπινίκην. Οὐ μὴν ἀλλὰ καὶ ὅλως φαίνεται τοῖς περὶ τὰς γυναῖκας ἐρωτικοῖς ὁ Κίμων ἔνοχος γενέσθαι. Καὶ γὰρ Ἀστερίας, τῷ γένει Σαλαμινίας, καὶ πάλιν Μνήστρας τινὸς, ὁ ποιητὴς Μελάνθιος μνημονεύει, πρὸς τὸν Κίμωνα παίζων δι᾽ ἐλεγείας, ὡς σπουδαζομένων ὑπ᾽ αὐτοῦ. Δῆλος δ᾽ ἐστὶ καὶ πρὸς Ἰσοδίκην, τὴν Εὐρυπτολέμου μὲν θυγατέρα τοῦ Μεγακλέους, κατὰ νόμους δ᾽ αὐτῷ συμβιώσασαν, ὁ Κίμων ἐμπαθέστερον διατεθεὶς, καὶ δυσφορήσας ἀποθανούσης, εἴ τι δεῖ τεκμαίρεσθαι ταῖς γεγραμμέναις ἐπὶ παρηγορίᾳ τοῦ πένθους ἐλεγείαις πρὸς αὐτόν· ὧν Παναίτιος ὁ φιλόσοφος οἴεται ποιητὴν γεγονέναι τὸν φυσικὸν Ἀρχέλαον, οὐκ ἀπὸ τρόπου τοῖς χρόνοις εἰκάζων.

V. Τὰ δ᾽ ἄλλα πάντα τοῦ ἤθους ἀγαστὰ καὶ γενναῖα τοῦ Κίμωνος. Οὔτε γὰρ τόλμῃ Μιλτιάδου λειπόμενος, οὔτε συνέσει Θεμιστοκλέους, δικαιότερος ἀμφοῖν ὁμολογεῖται γενέσθαι· καὶ ταῖς πολεμικαῖς οὐδὲ μικρὸν ἀποδέων ἀρεταῖς ἐκείνων, ἀμήχανον ὅσον ἐν ταῖς πολιτικαῖς ὑπερβαλέσθαι, νέος ὢν ἔτι καὶ πολέμων ἄπειρος. Ὅτε γὰρ τὸν δῆμον, ἐπι-

όντων Μήδων, Θεμιστοκλῆς ἔπειθε, προέμενον τὴν πόλιν, καὶ τὴν χώραν ἐκλιπόντα, πρὸ τῆς Σαλαμῖνος ἐν ταῖς ναυσὶ τὰ ὅπλα θέσθαι, καὶ διαγωνίσασθαι κατὰ θάλατταν· ἐκπεπληγμένων τῶν πολλῶν τὸ τόλμημα, πρῶτος Κίμων ὤφθη διὰ τοῦ Κεραμεικοῦ φαιδρὸς ἀνιὼν εἰς τὴν ἀκρόπολιν μετὰ τῶν ἑταίρων, ἵππου τινὰ χαλινὸν ἀναθεῖναι τῇ θεῷ διὰ χειρῶν κομίζων· ὡς οὐδὲν ἱππικῆς ἀλκῆς, ἀλλὰ ναυμάχων ἀνδρῶν ἐν τῷ παρόντι τῆς πόλεως δεομένης. Ἀναθεὶς δὲ τὸν χαλινὸν, καὶ λαβὼν ἐκ τῶν περὶ τὸν ναὸν κρεμαμένων ἀσπίδων, καὶ προσευξάμενος τῇ θεῷ, κατέβαινεν ἐπὶ θάλασσαν, οὐκ ὀλίγοις ἀρχὴ τοῦ θαρρεῖν γενόμενος. Ἦν δὲ καὶ τὴν ἰδέαν οὐ μεμπτὸς, ὡς Ἴων ὁ ποιητής φησιν, ἀλλὰ μέγας, οὔλῃ καὶ πολλῇ τριχὶ κομῶν τὴν κεφαλήν. Φανεὶς δὲ κατ' αὐτὸν τὸν ἀγῶνα λαμπρὸς καὶ ἀνδρώδης, ταχὺ δόξαν ἐν τῇ πόλει μετ' εὐνοίας ἔσχεν, ἀθροιζομένων πολλῶν πρὸς αὐτὸν, καὶ παρακαλούντων ἄξια τοῦ Μαραθῶνος ἤδη διανοεῖσθαι καὶ πράττειν. Ὁρμήσαντα δ' αὐτὸν ἐπὶ τὴν πολιτείαν ἄσμενος ὁ δῆμος ἐδέξατο, καὶ μεστὸς ὢν τοῦ Θεμιστοκλέους, ἀνῆγε πρὸς τὰς μεγίστας ἐν τῇ πόλει τιμὰς καὶ ἀρχὰς, εὐάρμοστον ὄντα καὶ προσφιλῆ τοῖς πολλοῖς, διὰ πρᾳότητα καὶ ἀφέλειαν. Οὐχ ἥκιστα δ' αὐτὸν ηὔξησεν Ἀριστείδης ὁ Λυσιμάχου τὴν εὐφυΐαν ἐνορῶν τῷ ἤθει, καὶ ποιούμενος οἷον ἀντίπαλον πρὸς τὴν Θεμιστοκλέους δεινότητα καὶ τόλμαν.

VI. Ἐπεὶ δὲ, Μήδων φυγόντων ἐκ τῆς Ἑλλα-

НБ ОНУ імені І.І. Мечникова

δος, ἐπέμφθη στρατηγὸς, κατὰ θάλατταν οὔπω τὴν ἀρχὴν Ἀθηναίων ἐχόντων, ἔτι δὲ Παυσανίᾳ καὶ Λακεδαιμονίοις ἑπομένων, πρῶτον μὲν ἐν ταῖς στρατηγίαις ἀεὶ παρεῖχε τοὺς πολίτας κόσμῳ τε θαυμαστοὺς καὶ προθυμίᾳ πολὺ πάντων διαφέροντας· ἔπειτα Παυσανίου τοῖς μὲν βαρβάροις διαλεγομένου περὶ προδοσίας, καὶ βασιλεῖ γράφοντος ἐπιστολὰς, τοῖς δὲ συμμάχοις τραχέως καὶ αὐθαδῶς προσφερομένου, καὶ πολλὰ δι᾿ ἐξουσίαν καὶ ὄγκον ἀνόητον ὑβρίζοντος, ὑπολαμβάνων πράως τοὺς ἀδικουμένους, καὶ φιλανθρώπως ἐξομιλῶν, ἔλαθεν οὐ δι᾿ ὅπλων τὴν Ἑλλάδος ἡγεμονίαν, ἀλλὰ λόγῳ καὶ ἤθει παρελόμενος. Προσετίθεντο γὰρ οἱ πλεῖστοι τῶν συμμάχων ἐκείνῳ τε καὶ Ἀριστείδῃ, τὴν χαλεπότητα τοῦ Παυσανίου καὶ ὑπεροψίαν μὴ φέροντες. Οἱ δὲ καὶ τούτους ἅμα προσήγοντο, καὶ τοῖς ἐφόροις πέμποντες ἔφραζον, ὡς ἀδοξούσης τῆς Σπάρτης, καὶ ταραττομένης τῆς Ἑλλάδος, ἀνακαλεῖν τὸν Παυσανίαν. Λέγεται δὲ, παρθένον τινὰ Βυζαντίαν ἐπιφανῶν γονέων, ὄνομα Κλεονίκην, ἐπ᾿ αἰσχύνῃ τοῦ Παυσανίου μεταπεμπομένου, τοὺς μὲν γονεῖς ὑπ᾿ ἀνάγκης καὶ φόβου προέσθαι τὴν παῖδα· τὴν δὲ τῶν πρὸ τοῦ δωματίου δεηθεῖσαν ἀνελέσθαι τὸ φῶς, διὰ σκότους καὶ σιωπῆς τῇ κλίνῃ προσιοῦσαν, ἤδη τοῦ Παυσανίου καθεύδοντος, ἐμπεσεῖν καὶ ἀνατρέψαι τὸ λυχνίον ἄκουσαν. Τὸν δὲ, ὑπὸ τοῦ ψόφου ταραχθέντα καὶ σπασάμενον τὸ παρακείμενον ἐγχειρίδιον, ὥς τινος ἐπ᾿ αὐτὸν ἐχθροῦ βαδίζοντος, πατάξαι καὶ

НБ ОНУ імені І. І. Мечникова

καταβαλεῖν τὴν παρθένον. Ἐκ δὲ τῆς πληγῆς ἀποθανοῦσαν αὐτὴν οὐκ ἐᾶν τὸν Παυσανίαν ἡσυχάζειν, ἀλλὰ νύκτωρ εἴδωλον αὐτῷ φοιτῶσαν εἰς τὸν ὕπνον, ὀργῇ λέγειν τόδε τὸ ἡρῷον·

Στεῖχε δίκης ἄσσον· μάλα τοι κακὸν ἀνδράσιν ὕβρις.

Ἐφ' ᾧ καὶ μάλιστα χαλεπῶς ἐνεγκόντες οἱ σύμμαχοι, μετὰ τοῦ Κίμωνος ἐξεπολιόρκησαν αὐτόν. Ὁ δ', ἐκπεσὼν τοῦ Βυζαντίου, καὶ τῷ φάσματι ταραττόμενος, ὡς λέγεται, κατέφυγε πρὸς τὸ νεκυομαντεῖον εἰς Ἡράκλειαν, καὶ τὴν ψυχὴν ἀνακαλούμενος τῆς Κλεονίκης, παρῃτεῖτο τὴν ὀργήν. Ἡ δ', εἰς ὄψιν ἐλθοῦσα, ταχέως ἔφη παύσεσθαι τῶν κακῶν αὐτὸν, ἐν Σπάρτῃ γενόμενον· αἰνιττομένη, ὡς ἔοικε, τὴν μέλλουσαν αὐτῷ τελευτήν. Ταῦτα μὲν οὖν ὑπὸ πολλῶν ἱστόρηται.

VII. Κίμων δὲ, τῶν συμμάχων ἤδη προσκεχωρηκότων αὐτῷ, στρατηγὸς εἰς Θρᾴκην ἔπλευσεν, πυνθανόμενος, Περσῶν ἄνδρας ἐνδόξους καὶ συγγενεῖς βασιλέως, Ἠϊόνα πόλιν ἐπὶ τῷ Στρυμόνι κειμένην ποταμῷ κατέχοντας, ἐνοχλεῖν τοῖς περὶ τὸν τόπον ἐκεῖνον Ἕλλησιν. Πρῶτον μὲν οὖν μάχῃ τοὺς Πέρσας αὐτοὺς ἐνίκησε, καὶ κατέκλεισεν εἰς τὴν πόλιν. ἔπειτα τοὺς ὑπὲρ Στρυμόνα Θρᾷκας, ὅθεν αὐτοῖς ἐφοίτα σῖτος, ἀναστάτους ποιῶν, καὶ τὴν χώραν παραφυλάττων ἅπασαν, εἰς τοσαύτην ἀπορίαν τοὺς πολιορκουμένους κατέστησεν, ὥστε Βούτην, τὸν βασιλέως στρατηγὸν, ἀπογνόντα τὰ πράγματα, τῇ πόλει πῦρ ἐνεῖναι, καὶ συνδιαφθεῖραι μετὰ τῶν φίλων

καὶ τῶν χρημάτων ἑαυτόν. Οὕτω δὲ λαβὼν τὴν πόλιν, ἄλλο μὲν οὐδὲν ἄξιον λόγου ὠφεληθῆ, τῶν πλείστων τοῖς βαρβάροις συγκατακαέντων· τὴν δὲ χώραν, εὐφυεστάτην οὖσαν καὶ καλλίστην, οἰκῆσαι παρέδωκε τοῖς Ἀθηναίοις. Καὶ τοὺς Ἑρμᾶς αὐτῷ τοὺς λιθίνους ὁ δῆμος ἀναθεῖναι συνεχώρησεν, ὧν ἐπιγέγραπται τῷ μὲν πρώτῳ·

Ἦν ἄρα κἀκεῖνοι ταλακάρδιοι, οἵ ποτε Μήδων
 Παισὶν ἐπ' Ἠϊόνι Στρυμόνος ἀμφὶ ῥοὰς
Λιμόν τ' αἴθωνα κρυερόν τ' ἐπάγοντες Ἄρηα
 Πρῶτοι δυσμενέων εὗρον ἀμηχανίην.

τῷ δὲ δευτέρῳ·

Ἡγεμόνεσσι δὲ μισθὸν Ἀθηναῖοι τάδ' ἔδωκαν
 Ἀντ' εὐεργεσίης καὶ μεγάλων ἀγαθῶν.
Μᾶλλόν τις τάδ' ἰδὼν καὶ ἐπεσσομένων ἐθελήσει
 Ἀμφὶ περὶ ξυνοῖς πράγμασι δῆριν ἔχειν.

τῷ δὲ τρίτῳ·

Ἔκ ποτε τῆσδε πόληος ἅμ' Ἀτρείδῃσι Μενεσθεὺς
 Ἡγεῖτο ζάθεον Τρωϊκὸν ἐς πεδίον·
Ὅν ποθ' Ὅμηρος ἔφη Δαναῶν πύκα θωρηκτάων
 Κοσμητῆρα μάχης ἔξοχον ὄντα μολεῖν.
Οὕτως οὐδὲν ἀεικὲς Ἀθηναίοισι καλεῖσθαι
 Κοσμηταῖς πολέμου τ' ἀμφὶ καὶ ἠνορέης.

VIII. Ταῦτα, καίπερ οὐδαμοῦ τὸ Κίμωνος ὄνομα δηλοῦντα, τιμῆς ὑπερβολὴν ἔχειν ἐδόκει τοῖς τότε ἀνθρώποις. Οὔτε γὰρ Θεμιστοκλῆς τοιούτου τινός, οὔτε Μιλτιάδης, ἔτυχεν· ἀλλὰ τούτῳ γε, θαλ-

λοῦ στέφανον αἰτοῦντι, Σωχάρης ὁ Δεκελεὺς, ἐκ μέσου τῆς ἐκκλησίας ἀναστὰς, ἀντεῖπεν, οὐκ εὐγνώμονα μὲν, ἀρέσασαν δὲ τῷ δήμῳ τότε φωνὴν ἀφείς· „Ὅταν γὰρ (ἔφη), μόνος ἀγωνισάμενος, ὦ Μιλτιάδη, νικήσῃς τοὺς βαρβάρους, τότε καὶ τιμᾶσθαι μόνος ἀξίου." Διὰ τί τοίνυν τὸ Κίμωνος ὑπερηγάπησαν ἔργον; ἢ ὅτι τῶν μὲν ἄλλων στρατηγούντων ὑπὲρ τοῦ μὴ παθεῖν ἠμύνοντο τοὺς πολεμίους, τούτου δὲ, καὶ ποιῆσαι κακῶς ἠδυνήθησαν, ἐπὶ τὴν ἐκείνων αὐτοὶ στρατεύσαντες, καὶ προσεκτήσαντο χώρας, αὐτήν τε τὴν Ἠϊόνα καὶ τὴν Ἀμφίπολιν οἰκίσαντες; Ὤκισαν δὲ καὶ Σκῦρον, ἑλόντος Κίμωνος ἐξ αἰτίας τοιαύτης. Δόλοπες ᾤκουν τὴν νῆσον, ἐργάται κακοὶ γῆς· ληϊζόμενοι δὲ τὴν θάλασσαν ἐκ παλαιοῦ, τελευτῶντες οὐδὲ τῶν εἰσπλεόντων παρ' αὐτοὺς καὶ χρωμένων ἀπείχοντο ξένων, ἀλλὰ Θετταλούς τινας ἐμπόρους περὶ τὸ Κτήσιον ὁρμισαμένους συλήσαντες εἷρξαν. Ἐπεὶ δὲ διαδράντες ἐκ τῶν δεσμῶν οἱ ἄνθρωποι δίκην κατεδικάσαντο τῆς πόλεως Ἀμφικτυονικὴν, οὐ βουλομένων τὰ χρήματα τῶν πολλῶν συνεκτίνειν, ἀλλὰ τοὺς ἔχοντας καὶ διηρπακότας ἀποδοῦναι κελευόντων, δείσαντες ἐκεῖνοι, πέμπουσι γράμματα πρὸς Κίμωνα, κελεύοντες ἥκειν μετὰ τῶν νεῶν ληψόμενον τὴν πόλιν ὑπ' αὐτῶν ἐνδιδομένην. Παραλαβὼν δ' οὕτω τὴν νῆσον ὁ Κίμων, τοὺς μὲν Δόλοπας ἐξήλασε, καὶ τὸν Αἰγαῖον ἠλευθέρωσε. Πυνθανόμενος δὲ, τὸν παλαιὸν Θησέα, τὸν Αἰγέως, φυγόντα μὲν ἐξ Ἀθηνῶν εἰς Σκῦρον, αὐτοῦ δ' ἀποθανόντα δόλῳ διὰ

НБ ОНУ імені І.І. Мечникова

φόβον ὑπὸ Λυκομήδους τοῦ βασιλέως, ἐσπούδασε τὸν τάφον ἀνευρεῖν. Καὶ γὰρ ἦν χρησμὸς Ἀθηναίοις, τὰ Θησέως λείψανα κελεύων ἀνακομίζειν εἰς ἄστυ, καὶ τιμᾷν ὡς ἥρωα πρεπόντως. Ἀλλ' ἠγνόουν, ὅπου κεῖται, Σκυρίων οὐχ ὁμολογούντων, οὐδ' ἐώντων ἀναζητεῖν. Τότε δὴ πολλῇ φιλοτιμίᾳ τοῦ σηκοῦ μόγις ἐξευρεθέντος, ἐνθέμενος ὁ Κίμων εἰς τὴν αὑτοῦ τριήρη τὰ ὀστᾶ, καὶ τἆλλα κοσμήσας μεγαλοπρεπῶς κατήγαγεν εἰς τὴν αὑτοῦ δι' ἐτῶν σχεδὸν ὀκτακοσίων. Ἐφ' ᾧ καὶ μάλιστα πρὸς αὐτὸν ἡδέως ὁ δῆμος ἔσχεν. Ἔθεντο δ' εἰς μνήμην αὐτοῦ καὶ τὴν τῶν τραγῳδῶν κρίσιν ὀνομαστὴν γενομένην. Πρώτην γὰρ διδασκαλίαν τοῦ Σοφοκλέους ἔτι νέου καθέντος, Ἀφεψίων ὁ ἄρχων, φιλονεικίας οὔσης καὶ παρατάξεως τῶν θεατῶν, κριτὰς μὲν οὐκ ἐκλήρωσε τοῦ ἀγῶνος· ὡς δὲ Κίμων μετὰ τῶν συστρατήγων προελθὼν εἰς τὸ θέατρον ἐποιήσατο τῷ θεῷ τὰς νενομισμένας σπονδάς, οὐκ ἀφῆκεν αὐτοὺς ἀπελθεῖν, ἀλλ' ὁρκώσας, ἠνάγκασε καθίσαι καὶ κρῖναι δέκα ὄντας, ἀπὸ φυλῆς μιᾶς ἕκαστον. Ὁ μὲν οὖν ἀγὼν καὶ διὰ τὸ τῶν κριτῶν ἀξίωμα τὴν φιλοτιμίαν ὑπερέβαλε. Νικήσαντος δὲ τοῦ Σοφοκλέους, λέγεται, τὸν Αἰσχύλον, περιπαθῆ γενόμενον καὶ βαρέως ἐνεγκόντα, χρόνον οὐ πολὺν Ἀθήνησι διαγαγεῖν, εἶτ' οἴχεσθαι δι' ὀργὴν εἰς Σικελίαν, ὅπου καὶ τελευτήσας περὶ Γέλαν τέθαπται.

IX. Συνδειπνῆσαι δὲ τῷ Κίμωνι φησὶν ὁ Ἴων, παντάπασι μειράκιον, ἥκων εἰς Ἀθήνας ἐκ Χίου,

НБ ОНУ імені І.І.Мечникова

παρὰ Λαομέδοντι· καὶ τῶν σπονδῶν γενομένων, παρακληθέντος ᾆσαι, καὶ ᾄσαντος οὐκ ἀηδῶς ἐπαινεῖν τοὺς παρόντας, ὡς δεξιώτερον Θεμιστοκλέους. Ἐκεῖνον γὰρ ᾄδειν μὲν οὐ φάναι μαθεῖν, οὐδὲ κιθαρίζειν· πόλιν δὲ ποιῆσαι μεγάλην καὶ πλουσίαν ἐπίστασθαι. Τοὐντεῦθεν, οἷον εἰκὸς ἐν πότῳ, τοῦ λόγου ῥυέντος ἐπὶ τὰς πράξεις τοῦ Κίμωνος, καὶ μνημονευομένων τῶν μεγίστων, αὐτὸν ἐκεῖνον ἓν διελθεῖν στρατήγημα τῶν ἰδίων ὡς σοφώτατον. Ἐπεὶ γὰρ ἐκ Σηστοῦ καὶ Βυζαντίου πολλοὺς τῶν βαρβάρων αἰχμαλώτους λαβόντες οἱ σύμμαχοι, τῷ Κίμωνι διανεῖμαι προσέταξαν, ὁ δὲ χωρὶς μὲν αὐτοὺς, χωρὶς δὲ τὸν περὶ τοῖς σώμασι κόσμον αὐτῶν ἔθηκεν, ᾐτιῶντο τὴν διανομὴν ὡς ἄνισον. Ὁ δὲ τῶν μερίδων ἐκέλευσεν αὐτοὺς ἑλέσθαι τὴν ἑτέραν, ἣν δ᾽ ἂν ἐκεῖνοι καταλίπωσιν, ἀγαπήσειν Ἀθηναίους. Ἡροφύτου δὲ τοῦ Σαμίου συμβουλεύσαντος, αἱρεῖσθαι τὰ Περσῶν μᾶλλον, ἢ Πέρσας, τὸν μὲν κόσμον αὐτοὶ ἔλαβον, Ἀθηναίοις δὲ τοὺς αἰχμαλώτους ἀπέλιπον. Καὶ τότε μὲν ὁ Κίμων ἀπῄει, γελοῖος εἶναι δοκῶν διανομεὺς, τῶν μὲν συμμάχων ψέλλια χρυσᾶ, καὶ μανιάκας, καὶ στρεπτοὺς, καὶ κάνδυας, καὶ πορφύραν φερομένων, τῶν δ᾽ Ἀθηναίων γυμνὰ σώματα κακῶς ἠσκημένα πρὸς ἐργασίαν παραλαβόντων. Μικρὸν δὲ ὕστερον οἱ τῶν ἑαλωκότων φίλοι καὶ οἰκεῖοι, καταβαίνοντες ἐκ Φρυγίας καὶ Λυδίας, ἐλυτροῦντο μεγάλων χρημάτων ἕκαστον· ὥστε τῷ Κίμωνι τεσσάρων μηνῶν τροφὰς εἰς τὰς ναῦς ὑπάρξαι,

НБ ОНУ імені І. І. Мечникова

καὶ προσέτι τῇ πόλει χρυσίον οὐκ ὀλίγον ἐκ τῶν λύτρων περιγενέσθαι.

X. Ἤδη δ᾽ εὐπορῶν ὁ Κίμων, ἐφόδια τῆς στρατηγίας, ἃ καλῶς ἀπὸ τῶν πολεμίων ἔδοξεν ὠφελῆσθαι, κάλλιον ἀνήλισκεν εἰς τοὺς πολίτας. Τῶν τε γὰρ ἀγρῶν τοὺς φραγμοὺς ἀφεῖλεν, ἵνα καὶ τοῖς ξένοις καὶ τῶν πολιτῶν τοῖς δεομένοις ἀδεῶς ὑπάρχῃ λαμβάνειν τῆς ὀπώρας· καὶ δεῖπνον οἴκοι παρ᾽ αὐτῷ, λιτὸν μὲν, ἀρκοῦν δὲ πολλοῖς, ἐποιεῖτο καθ᾽ ἡμέραν· ἐφ᾽ ὃ τῶν πενήτων ὁ βουλόμενος εἰσῄει, καὶ διατροφὴν εἶχεν ἀπράγμονα, μόνοις τοῖς δημοσίοις σχολάζων. Ὡς δ᾽ Ἀριστοτέλης φησὶν, οὐχ ἁπάντων Ἀθηναίων, ἀλλὰ τῶν δημοτῶν αὐτοῦ Λακιαδῶν παρεσκευάζετο τῷ βουλομένῳ τὸ δεῖπνον. Αὐτῷ δὲ νεανίσκοι παρείποντο συνήθως, ἀμπεχόμενοι καλῶς, ὧν ἕκαστος, εἴ τις συντύχοι τῷ Κίμωνι τῶν ἀστῶν πρεσβύτερος, ἠμφιεσμένος ἐνδεῶς, διημείβετο πρὸς αὐτὸν τὰ ἱμάτια· καὶ τὸ γινόμενον ἐφαίνετο σεμνόν. Οἱ δ᾽ αὐτοὶ καὶ νόμισμα κομίζοντες ἄφθονον, παριστάμενοι τοῖς κομψοῖς τῶν πενήτων ἐν ἀγορᾷ σιωπῇ τῶν κερματίων ἐνέβαλλον εἰς τὰς χεῖρας· ὧν δὴ καὶ Κρατῖνος ὁ κωμικὸς ἐν Ἀρχιλόχοις ἔοικε μεμνῆσθαι διὰ τούτων

*Κἀγὼ γὰρ ηὔχουν Μητρόβιος ὁ γραμματεὺς*
*Σὺν ἀνδρὶ θείῳ καὶ φιλοξενωτάτῳ,*
*Καὶ πάντ᾽ ἀρίστῳ τῶν Πανελλήνων πρόμῳ*
*Κίμωνι, λιπαρὸν γῆρας εὐωχούμενος*
*Αἰῶνα πάντα συνδιατρίψειν. Ὁ δὲ*
*Λιπὼν, βέβηκε πρότερος.*

Ἔτι τοίνυν, Γοργίας μὲν ὁ Λεοντῖνος φησὶ, τὸν Κίμωνα τὰ χρήματα κτᾶσθαι μὲν, ὡς χρῷτο, χρῆσθαι δὲ, ὡς τιμῷτο· Κριτίας δὲ, τῶν τριάκοντα γενόμενος, ἐν ταῖς ἐλεγείαις εὔχεται,

Πλοῦτον μὲν Σκοπάδων, μεγαλοφροσύνην δὲ Κίμωνος,
Νίκας δ' Ἀγησίλα τοῦ Λακεδαιμονίου.

Καίτοι Λίχαν γε τὸν Σπαρτιάτην ἀπ' οὐδενὸς ἄλλου γινώσκομεν ἐν τοῖς Ἕλλησιν ὀνομαστὸν γενόμενον, ἢ ὅτι τοὺς ξένους ἐν ταῖς γυμνοπαιδίαις ἐδείπνιζεν· ἡ δὲ Κίμωνος ἀφθονία καὶ τὴν παλαιὰν τῶν Ἀθηναίων φιλοξενίαν καὶ φιλανθρωπίαν ὑπερέβαλεν. Οἱ μὲν γὰρ, ἐφ' οἷς ἡ πόλις μέγα φρονεῖ δικαίως, τό τε σπέρμα τῆς τροφῆς εἰς τοὺς Ἕλληνας ἐξέδωκαν, ὑδάτων τε πηγαίων χρῆσιν καὶ πυρὸς ἔναυσιν ἀνθρώπους ἐδίδαξαν· ὁ δὲ, τὴν μὲν οἰκίαν τοῖς πολίταις πρυτανεῖον ἀποδείξας κοινὸν, ἐν δὲ τῇ χώρᾳ καρπῶν ἑτοίμων ἀπαρχὰς, καὶ ὅσα ὧραι καλὰ φέρουσι, χρῆσθαι καὶ λαμβάνειν ἅπαντα τοῖς ξένοις παρέχων, τρόπον τινὰ τὴν ἐπὶ Κρόνου μυθολογουμένην κοινωνίαν εἰς τὸν βίον αὖθις κατῆγεν. Οἱ δὲ ταῦτα κολακείαν ὄχλου καὶ δημαγωγίαν εἶναι διαβάλλοντες, ὑπὸ τῆς ἄλλης ἐξηλέγχοντο τοῦ ἀνδρὸς προαιρέσεως, ἀριστοκρατικῆς καὶ Λακωνικῆς οὔσης· ὅς γε καὶ Θεμιστοκλεῖ, πέρα τοῦ δέοντος ἐπαίροντι τὴν δημοκρατίαν, ἀντέβαινε μετ' Ἀριστείδου, καὶ πρὸς Ἐφιάλτην ὕστερον, χάριτι τοῦ δήμου καταλύοντα τὴν ἐξ Ἀρείου πάγου βουλὴν, διηνέχθη, λημμάτων δὲ δημοσίων τοὺς ἄλλους, πλὴν

НБ ОНУ імені І.І. Мечникова

Ἀριστείδου καὶ Ἐφιάλτου, πάντας ἀναπιμπλαμένους ὁρῶν, αὑτὸν ἀδέκαστον καὶ ἄθικτον ἐν τῇ πολιτείᾳ δωροδοκίας, καὶ πάντα προῖκα καὶ καθαρῶς πράττοντα καὶ λέγοντα διὰ τέλους παρέσχε. Λέγεταί γέ τοι, Ῥοισάκην τινὰ βάρβαρον, ἀποστάτην βασιλέως, ἐλθεῖν μετὰ χρημάτων πολλῶν εἰς Ἀθήνας, καὶ σπαραττόμενον ὑπὸ τῶν συκοφαντῶν, καταφυγεῖν πρὸς Κίμωνα, καὶ θεῖναι παρὰ τὴν αὔλειον αὐτοῦ φιάλας δύο, τὴν μὲν ἀργυρείων ἐμπλησάμενον Δαρεικῶν, τὴν δὲ χρυσῶν· ἰδόντα δὲ τὸν Κίμωνα, καὶ μειδιάσαντα, πυθέσθαι τοῦ ἀνθρώπου, πότερον αἱρεῖται Κίμωνα μισθωτὸν, ἢ φίλον ἔχειν· τοῦ δὲ φήσαντος φίλον, „Οὐκοῦν (φάναι) ταῦτ᾽ ἄπιθι μετὰ σεαυτοῦ κομίζων· χρήσομαι γὰρ αὐτοῖς, ὅταν δέωμαι, φίλος γενόμενος."

XI. Ἐπεὶ δὲ οἱ σύμμαχοι τοὺς φόρους μὲν ἐτέλουν, ἄνδρας δὲ καὶ ναῦς, ὡς ἐτάχθησαν, οὐ παρεῖχον, ἀλλ᾽ ἀπαγορεύοντες ἤδη πρὸς τὰς στρατείας, καὶ πολέμου μὲν οὐδὲν δεόμενοι, γεωργεῖν δὲ καὶ ζῆν καθ᾽ ἡσυχίαν ἐπιθυμοῦντες, ἀπηλλαγμένων τῶν βαρβάρων καὶ μὴ διοχλούντων, οὔτε τὰς ναῦς ἐπλήρουν, οὔτ᾽ ἄνδρας ἀπέστελλον, οἱ μὲν ἄλλοι στρατηγοὶ τῶν Ἀθηναίων προσηνάγκαζον αὐτοὺς ταῦτα ποιεῖν, καὶ τοὺς ἐλλείποντας ὑπάγοντες δίκαις καὶ κολάζοντες, ἐπαχθῆ τὴν ἀρχὴν καὶ λυπηρὰν ἐποίουν. Κίμων δὲ, τὴν ἐναντίαν ὁδὸν ἐν τῇ στρατηγίᾳ πορευόμενος, βίαν μὲν οὐδενὶ τῶν Ἑλλήνων προσῆγε, χρήματα δὲ λαμβάνων παρὰ τῶν οὐ βουλομένων στρατεύεσθαι καὶ ναῦς κενὰς, ἐκείνους εἴα δελεαζομένους τῇ σχολῇ περὶ τὰ οἰ-



НБ ОНУ імені І.І. Мечникова

κεῖα διατρίβειν γεωργοὺς καὶ χρηματιστὰς ἀπολέμους ἐκ πολεμικῶν ὑπὸ τρυφῆς καὶ ἀνοίας γινομένους. Τῶν δ' Ἀθηναίων ἀνὰ μέρος πολλοὺς ἐμβιβάζων, καὶ διαπονῶν ταῖς στρατείαις, ἐν ὀλίγῳ χρόνῳ τοῖς παρὰ τῶν συμμάχων μισθοῖς καὶ χρήμασι δεσπότας αὐτῶν τῶν διδόντων ἐποίησε. Πλέοντας γὰρ αὐτοὺς συνεχῶς, καὶ διὰ χειρὸς ἔχοντας ἀεὶ τὰ ὅπλα, καὶ τρεφομένους καὶ ἀσκοῦντας ἐκ τῆς αὐτῶν στρατείας, ἐθισθέντες φοβεῖσθαι καὶ κολακεύειν, ἔλαθον ἀντὶ συμμάχων ὑποτελεῖς καὶ δοῦλοι γεγονότες.

XII. Καὶ μὴν αὐτοῦ γε τοῦ μεγάλου βασιλέως οὐδεὶς ἐταπείνωσε καὶ συνέστειλε τὸ φρόνημα μᾶλλον, ἢ Κίμων. Οὐ γὰρ ἀνῆκεν ἐκ τῆς Ἑλλάδος ἀπηλλαγμένον, ἀλλ' ὥσπερ ἐκ ποδὸς διώκων, πρὶν διαπνεῦσαι καὶ στῆναι τοὺς βαρβάρους, τὰ μὲν ἐπόρθει καὶ κατεστρέφετο, τὰ δ' ἀφίστη καὶ προσήγετο τοῖς Ἕλλησιν· ὥστε τὴν ἀπ' Ἰωνίας Ἀσίαν ἄχρι Παμφυλίας παντάπασι Περσικῶν ὅπλων ἐρημῶσαι. Πυθόμενος δὲ, τοὺς βασιλέως στρατηγοὺς μεγάλῳ στρατῷ καὶ ναυσὶ πολλαῖς ἐφεδρεύειν περὶ Παμφυλίαν, καὶ βουλόμενος αὐτοῖς ἄπλουν καὶ ἀνέμβατον ὅλως ὑπὸ φόβου τὴν ἐντὸς Χελιδονίων ποιήσασθαι θάλατταν, ὥρμησεν ἄρας ἀπὸ Κνίδου καὶ Τριοπίου διακοσίαις τριήρεσι, πρὸς μὲν τάχος ἀπ' ἀρχῆς καὶ περιαγωγὴν ὑπὸ Θεμιστοκλέους ἄριστα κατεσκευασμέναις· ἐκεῖνος δὲ τότε καὶ πλατυτέρας ἐποίησεν αὐτὰς, καὶ διάβασιν τοῖς καταστρώμασιν ἔδωκεν, ὡς ἂν ὑπὸ πολλῶν ὁπλιτῶν μαχιμώτεραι προσφέροιντο τοῖς πο

НБ ОНУ імені І.І. Мечникова

λεμίοις. Ἐπιπλεύσας δὲ τῇ πόλει τῶν Φασηλιτῶν, Ἑλλήνων μὲν ὄντων, οὐ δεχομένων δὲ τὸν στόλον, οὐδὲ βουλομένων ἀφίστασθαι βασιλέως, τήν τε χώραν κακῶς ἐποίει, καὶ προσέβαλε τοῖς τείχεσιν. Οἱ δὲ Χῖοι, συμπλέοντες αὐτῷ, πρὸς δὲ τοὺς Φασηλίτας ἐκ παλαιοῦ φιλικῶς ἔχοντες, ἅμα μὲν τὸν Κίμωνα κατεπράϋνον, ἅμα δὲ τοξεύοντες ὑπὲρ τὰ τείχη βιβλίδια προσκείμενα τοῖς οἰστοῖς, ἐξήγγελλον τοῖς Φασηλίταις. Τέλος δὲ διήλλαξαν αὐτοὺς, ὅπως δέκα τάλαντα δόντες ἀκολουθῶσι καὶ συστρατεύωσιν ἐπὶ τοὺς βαρβάρους. Ἔφορος μὲν οὖν Τιθραύστην φησὶ τῶν βασιλικῶν νεῶν ἄρχειν, καὶ τοῦ πεζοῦ Φερενδάτην· Καλλισθένης δ᾽ Ἀριομάνδην τὸν Γωβρύου, κυριώτατον ὄντα τῆς δυνάμεως, παρὰ τὸν Εὐρυμέδοντα ταῖς ναυσὶ παρορμεῖν, οὐκ ὄντα μάχεσθαι τοῖς Ἕλλησι πρόθυμον, ἀλλὰ προσδεχόμενον ὀγδοήκοντα ναῦς Φοινίσσας ἀπὸ Κύπρου προσπλεούσας. Ταύτας φθῆναι βουλόμενος ὁ Κίμων ἀνήχθη, βιάζεσθαι παρεσκευασμένος, ἂν ἑκόντες μὴ ναυμαχῶσιν. Οἱ δὲ πρῶτον μὲν, ὡς μὴ βιασθεῖεν, εἰς τὸν ποταμὸν εἰσωρμίσαντο, προσφερομένων δὲ τῶν Ἀθηναίων ἀντεξέπλευσαν, ὡς ἱστορεῖ Φανόδημος, ἑξακοσίαις ναυσίν· ὡς δ᾽ Ἔφορος, πεντήκοντα καὶ τριακοσίαις. Ἔργον δὲ κατά γοῦν τὴν θάλατταν οὐδὲν ὑπ᾽ αὐτῶν ἐπράχθη τῆς δυνάμεως ἄξιον, ἀλλ᾽ εὐθὺς εἰς τὴν γῆν ἀποστρέφοντες, ἐξέπιπτον οἱ πρῶτοι, καὶ κατέφευγον εἰς τὸ πεζὸν ἐγγὺς παρατεταγμένον· οἱ δὲ καταλαμβανόμενοι, διεφθείροντο μετὰ τῶν νεῶν.

Ὧι καὶ δῆλόν ἐστιν, ὅτι πάμπολλαί τινες αἱ πεπληρωμέναι τοῖς βαρβάροις νῆες ἦσαν, ὅτε, πολλῶν μὲν, ὡς εἰκὸς, ἐκφυγουσῶν, πολλῶν δὲ συντριβεισῶν, ὅμως διακοσίας αἰχμαλώτους ἔλαβον οἱ Ἀθηναῖοι.

XIII. Τῶν δὲ πεζῶν ἐπικαταβάντων πρὸς τὴν θάλασσαν, μέγα μὲν ἔργον ἐφαίνετο τῷ Κίμωνι τὸ βιάζεσθαι τὴν ἀπόβασιν, καὶ κεκμηκότας ἀκμῆσι καὶ πολλαπλασίοις ἐπάγειν τοὺς Ἕλληνας· ὅμως δὲ, ῥώμῃ καὶ φρονήματι τοῦ κρατεῖν ὁρῶν ἐπηρμένους καὶ προθύμους ὁμόσε χωρεῖν τοῖς βαρβάροις, ἀπεβίβαζε τοὺς ὁπλίτας ἔτι θερμοὺς τῷ κατὰ τὴν ναυμαχίαν ἀγῶνι, μετὰ κραυγῆς καὶ δρόμου προσφερομένους. Ὑποστάντων δὲ τῶν Περσῶν καὶ δεξαμένων οὐκ ἀγεννῶς, κρατερὰ μάχη συνέστη· καὶ τῶν Ἀθηναίων ἄνδρες ἀγαθοὶ καὶ τοῖς ἀξιώμασι πρῶτοι καὶ διαπρεπεῖς ἔπεσον. Πολλῷ δ' ἀγῶνι τρεψάμενοι τοὺς βαρβάρους ἔκτεινον, εἶτα ᾕρουν αὐτούς τε καὶ σκηνὰς παντοδαπῶν χρημάτων γεμούσας. Κίμων δ', ὥσπερ ἀθλητὴς δεινὸς, ἡμέρᾳ μιᾷ δύο καθῃρηκὼς ἀγωνίσματα, καὶ τὸ μὲν ἐν Σαλαμῖνι πεζομαχίᾳ, τὸ δ' ἐν Πλαταιαῖς ναυμαχίᾳ παρεληλυθὼς τρόπαιον, ἐπηγωνίσατο ταῖς νίκαις· καὶ τὰς ὀγδοήκοντα Φοινίσσας τριήρεις, αἳ τῆς μάχης ἀπελείφθησαν, Ὕδρῳ προσβεβληκέναι πυθόμενος, διὰ τάχους ἔπλευσεν· οὐδὲν εἰδότων βέβαιον οὔπω περὶ τῆς μείζονος δυνάμεως τῶν στρατηγῶν, ἀλλὰ δυσπίστως ἔτι καὶ μετεώρως ἐχόντων· ᾗ καὶ μᾶλλον ἐκπλαγέντες, ἀπώλεσαν τὰς ναῦς ἁπάσας, καὶ τῶν ἀνδρῶν οἱ πλεῖστο

НБ ОНУ імені І.І.Мечникова

συνδιεφθάρησαν. Τοῦτο τὸ ἔργον οὕτως ἐταπείνωσε τὴν γνώμην τοῦ βασιλέως, ὥστε συνθέσθαι τὴν περιβόητον εἰρήνην ἐκείνην, ἵππου μὲν δρόμον ἀεὶ τῆς Ἑλληνικῆς ἀπέχειν θαλάσσης, ἔνδον δὲ Κυανέων καὶ Χελιδονίων μακρᾷ νηῒ καὶ χαλκεμβόλῳ μὴ πλέειν. Καίτοι Καλλισθένης οὔ φησι ταῦτα συνθέσθαι τὸν βάρβαρον, ἔργῳ δὲ ποιεῖν διὰ φόβον τῆς ἥττης ἐκείνης, καὶ μακρὰν οὕτως ἀποστῆναι τῆς Ἑλλάδος, ὥστε πεντήκοντα ναυσὶ Περικλέα, καὶ τριάκοντα μόναις Ἐφιάλτην, ἐπέκεινα πλεῦσαι Χελιδονίων, καὶ μηδὲν αὐτοῖς ναυτικὸν ἀπαντῆσαι παρὰ τῶν βαρβάρων. Ἐν δὲ τοῖς ψηφίσμασιν, ἃ συνήγαγε Κρατερὸς, ἀντίγραφα συνθηκῶν, ὡς γενομένων, κατατέτακται. Φασὶ δὲ, καὶ βωμὸν Εἰρήνης διὰ ταῦτα τοὺς Ἀθηναίους ἱδρύσασθαι, καὶ Καλλίαν τὸν πρεσβεύσαντα τιμῆσαι διαφερόντως. Πραθέντων δὲ τῶν αἰχμαλώτων λαφύρων, εἴς τε τἄλλα χρήμασιν ὁ δῆμος ἐῤῥώσθη, καὶ τῇ ἀκροπόλει τὸ νότιον τεῖχος κατεσκεύασεν, ἀπ' ἐκείνης εὐπορήσας τῆς στρατείας. Λέγεται δὲ καὶ τῶν μακρῶν τειχῶν, ἃ σκέλη καλοῦσι, συντελεσθῆναι μὲν ὕστερον τὴν οἰκοδομίαν, τὴν δὲ πρώτην θεμελίωσιν, εἰς τόπους ἑλώδεις καὶ διαβρόχους τῶν ἔργων ἐμπεσόντων, ἐρεισθῆναι διὰ Κίμωνος ἀσφαλῶς, χάλικι πολλῇ καὶ λίθοις βαρέσι τῶν ἑλῶν πιεσθέντων, ἐκείνου χρήματα πορίζοντος καὶ διδόντος. Πρῶτος δὲ ταῖς λεγομέναις ἐλευθερίοις καὶ γλαφυραῖς διατριβαῖς, αἳ μικρὸν ὕστερον ὑπερφυῶς ἠγαπήθησαν, ἐκαλλώπισε τὸ ἄστυ, τὴν μὲν ἀγο-

НБ ОНУ імені І.І. Мечникова

ῥὰν πλατάνοις καταφυτεύσας, τὴν δ' Ἀκαδημίαν ἐξ ἀνύδρου καὶ αὐχμηρᾶς κατάῤῥυτον ἀποδείξας ἄλσος, ἠσκημένον ὑπ' αὐτοῦ δρόμοις καθαροῖς καὶ συσκίοις περιπάτοις.

XIV. Ἐπεὶ δὲ τῶν Περσῶν τινες οὐκ ἐβούλοντο τὴν Χεῤῥόνησον καταλιπεῖν, ἀλλὰ καὶ τοὺς Θρᾷκας ἄνωθεν ἐπεκαλοῦντο, καταφρονοῦντες τοῦ Κίμωνος, μετ' ὀλίγων παντάπασι τριηρῶν Ἀθήνηθεν ἐκπεπλευκότος, ὁρμήσας ἐπ' αὐτούς, τέσσαρσι μὲν ναυσὶ τρισκαίδεκα τὰς ἐκείνων ἔλαβεν· ἐξελάσας δὲ τοὺς Πέρσας, καὶ κρατήσας τῶν Θρᾳκῶν, πᾶσαν ᾠκειώσατο τῇ πόλει τὴν Χεῤῥόνησον. Ἐκ δὲ τούτου Θασίους μὲν ἀποστάντας Ἀθηναίων καταναυμαχήσας, τρεῖς καὶ τριάκοντα ναῦς ἔλαβε, καὶ τὴν πόλιν ἐξεπολιόρκησε, καὶ τὰ χρυσεῖα τὰ πέραν Ἀθηναίοις προσεκτήσατο, καὶ χώραν, ἧς ἐπῆρχον Θάσιοι, παρέλαβεν. Ἐκεῖθεν δὲ ῥᾳδίως ἐπιβῆναι Μακεδονίας, καὶ πολλὴν ἀποτεμέσθαι παρασχὸν, ὡς ἐδόκει, μὴ θελήσας, αἰτίαν ἔσχε δώροις ὑπὸ τοῦ βασιλέως Ἀλεξάνδρου συμπεπεῖσθαι· καὶ δίκην ἔφυγε, τῶν ἐχθρῶν συστάντων ἐπ' αὐτόν. Ἀπολογούμενος δὲ πρὸς τοὺς δικαστὰς, οὐκ Ἰώνων ἔφη προξενεῖν, οὐδὲ Θεσσαλῶν, πλουσίων ὄντων, ὥσπερ ἑτέρους, ἵνα θεραπεύωνται καὶ λαμβάνωσιν, ἀλλὰ Λακεδαιμονίων, μιμούμενος καὶ ἀγαπῶν τὴν παρ' αὐτοῖς εὐτέλειαν καὶ σωφροσύνην· ἧς οὐδένα προτιμᾶν πλοῦτον, ἀλλὰ πλουτίζων ἀπὸ τῶν πολεμίων τὴν πόλιν ἀγάλλεσθαι. Μνησθεὶς δὲ τῆς κρίσεως ἐκείνης ὁ Στησίμβροτος,

НБ ОНУ Мечникова

φησὶ τὴν Ἐλπινίκην, ὑπὲρ τοῦ Κίμωνος δεομένην, ἐλθεῖν ἐπὶ τὰς θύρας τοῦ Περικλέους (οὗτος γὰρ ἦν τῶν κατηγόρων ὁ σφοδρότατος). Τὸν δὲ, μειδιάσαντα· „Γραῦς εἶ (φάναι), γραῦς, ὦ Ἐλπινίκη, ὡς τηλικαῦτα διαπράττεσθαι πράγματα.“ Πλὴν ἔν γε τῇ δίκῃ πρᾳότατον γενέσθαι τῷ Κίμωνι, καὶ πρὸς τὴν κατηγορίαν ἅπαξ ἀναστῆναι μόνον, ὥσπερ ἀφοσιούμενον.

XV. Ἐκείνην μὲν οὖν ἀπέφυγε τὴν δίκην· ἐν δὲ τῇ λοιπῇ πολιτείᾳ παρὼν μὲν ἐκράτει καὶ συνέστελλε τὸν δῆμον ἐπιβαίνοντα τοῖς ἀρίστοις, καὶ περισπῶντα τὴν πᾶσαν εἰς ἑαυτὸν ἀρχὴν καὶ δύναμιν. Ὡς δὲ πάλιν ἐπὶ στρατείαν ἐξέπλευσε, τελέως ἀνεθέντες οἱ πολλοὶ καὶ συγχέαντες τὸν καθεστῶτα τῆς πολιτείας κόσμον, [τὰ πάτρια νόμιμα, οἷς ἐχρῶντο πρότερον,] Ἐφιάλτου προεστῶτος, ἀφείλοντο τῆς ἐξ Ἀρείου πάγου βουλῆς τὰς κρίσεις, πλὴν ὀλίγων, ἁπάσας· καὶ τῶν δικαστηρίων κυρίους ἑαυτοὺς ποιήσαντες, εἰς ἄκρατον δημοκρατίαν ἐνέβαλον τὴν πόλιν, ἤδη καὶ Περικλέους δυναμένου, καὶ τὰ τῶν πολλῶν φρονοῦντος. Διὸ καὶ τοῦ Κίμωνος, ὡς ἐπανῆλθεν, ἀγανακτοῦντος ἐπὶ τῷ προπηλακίζεσθαι τὸ ἀξίωμα τοῦ συνεδρίου, καὶ πειρωμένου πάλιν ἄνω τὰς δίκας ἀνακαλεῖσθαι, καὶ τὴν ἐπὶ Κλεισθένους ἐγείρειν ἀριστοκρατίαν, κατεβόων συνιστάμενοι, καὶ τὸν δῆμον ἐξηρέθιζον, ἐκεῖνά τε τὰ πρὸς τὴν ἀδελφὴν ἀνανεούμενοι, καὶ Λακωνισμὸν ἐπικαλοῦντες. Εἰς ἃ καὶ τὰ Εὐπόλιδος διατεθρύλληται περὶ Κίμωνος, ὅτι

НБ ОНУ імені І.І. Мечникова

Κακὸς μὲν οὐκ ἦν, φιλοπότης δὲ κἀμελής.
Κἀνίοτ' ἀπεκοιμᾶτ' ἂν ἐν Λακεδαίμονι,
Κἀν Ἐλπινίκην τήνδε καταλιπὼν μόνην.

Εἰ δ' ἀμελῶν καὶ μεθυσκόμενος τοσαύτας πόλεις εἷλε, καὶ τοσαύτας νίκας ἐνίκησε, δῆλον, ὅτι, νήφοντος αὐτοῦ καὶ προσέχοντος, οὐδεὶς ἂν οὔτε τῶν πρότερον, οὔτε τῶν ὕστερον Ἑλλήνων παρῆλθε τὰς πράξεις.

XVI. Ἦν μὲν οὖν ἀπ' ἀρχῆς φιλολάκων· καὶ τῶν γε παίδων τῶν διδύμων τὸν ἕτερον Λακεδαιμόνιον ὠνόμασε, τὸν δ' ἕτερον Ἠλεῖον, ἐκ γυναικὸς αὐτῷ Κλειτορίας γενομένους, ὡς Στησίμβροτος ἱστορεῖ· δι' ὃ πολλάκις τὸν Περικλέα τὸ μητρῷον αὐτοῖς γένος ὀνειδίζειν. Διόδωρος δ' ὁ Περιηγητὴς καὶ τούτους φησὶ καὶ τὸν τρίτον τῶν Κίμωνος υἱῶν, Θεσσαλὸν, ἐξ Ἰσοδίκης γεγονέναι τῆς Εὐρυπτολέμου τοῦ Μεγακλέους. Ηὐξήθη δ' ὑπὸ τῶν Λακεδαιμονίων ἤδη τῷ Θεμιστοκλεῖ προσπολεμούντων, καὶ τοῦτον ὄντα νέον ἐν Ἀθήναις μᾶλλον ἰσχύειν καὶ κρατεῖν βουλομένων. Οἱ δ' Ἀθηναῖοι τὸ πρῶτον ἡδέως ἑώρων, οὐ μικρὰ τῆς πρὸς ἐκεῖνον εὐνοίας τῶν Σπαρτιατῶν ἀπολαύοντες. Αὐξανομένοις γὰρ αὐτοῖς κατ' ἀρχὰς, καὶ τὰ συμμαχικὰ πολυπραγμονοῦσιν, οὐκ ἤχθοντο τιμῇ καὶ χάριτι τοῦ Κίμωνος. Τὰ γὰρ πλεῖστα δι' ἐκείνου τῶν Ἑλληνικῶν διεπράττετο, πρᾴως μὲν τοῖς συμμάχοις, κεχαρισμένως δὲ τοῖς Λακεδαιμονίοις ὁμιλοῦντος. Ἔπειτα δυνατώτεροι γενόμενοι, καὶ τὸν Κίμωνα τοῖς Σπαρτιάταις οὐκ ἠρέμα προσκείμενον

НБ ОНУ імені І.І. Мечникова

ὁρῶντες, ἤχθοντο. Καὶ γὰρ αὐτὸς ἐπὶ παντὶ μεγαλύνων τὴν Λακεδαίμονα πρὸς Ἀθηναίους, καὶ μάλιστα ὅτε τύχοι μεμφόμενος αὐτοῖς, ἢ παροξύνων, ὥς φησι Στησίμβροτος, εἰώθει λέγειν. „Ἀλλ' οὐ Λακεδαιμόνιοί γε τοιοῦτοι.“ Ὅθεν φθόνον ἑαυτῷ συνῆγε καὶ δυσμένειάν τινα παρὰ τῶν πολιτῶν. Ἡ δ' οὖν ἰσχύσασα μάλιστα κατ' αὐτοῦ τῶν διαβολῶν, αἰτίαν ἔσχε τοιαύτην. Ἀρχιδάμου τοῦ Ζευξιδάμου τέταρτον ἔτος ἐν Σπάρτῃ βασιλεύοντος, ὑπὸ σεισμοῦ, μεγίστου δὴ τῶν μνημονευομένων πρότερον, ἥ τε χώρα τῶν Λακεδαιμονίων χάσμασιν ἐνώλισθε πολλοῖς, καὶ τῶν Ταϋγέτων τιναχθέντων κορυφαί τινες ἀπεῤῥάγησαν· αὐτὴ δ' ἡ πόλις ὅλη συνεχύθη, πλὴν οἰκιῶν πέντε, τὰς δ' ἄλλας ἤρειψεν ὁ σεισμός. Ἐν δὲ μέσῃ τῇ στοᾷ γυμναζομένων ὁμοῦ τῶν ἐφήβων καὶ τῶν νεανίσκων, λέγεται, μικρὸν πρὸ τοῦ σεισμοῦ λαγὼν παραφανῆναι, καὶ τοὺς μὲν νεανίσκους, ὥσπερ ἦσαν ἀληλιμμένοι, μετὰ παιδιᾶς ἐκδραμεῖν καὶ διώκειν, τοῖς δ' ἐφήβοις ὑπολειφθεῖσιν ἐπιπεσεῖν τὸ γυμνάσιον, καὶ πάντας ὁμοῦ τελευτῆσαι. Τὸν δὲ τάφον αὐτῶν ἔτι νῦν Σεισματίαν προσαγορεύουσι. Ταχὺ δὴ συνιδὼν ἀπὸ τοῦ παρόντος τὸν μέλλοντα κίνδυνον ὁ Ἀρχίδαμος, καὶ τοὺς πολίτας ὁρῶν ἐκ τῶν οἰκιῶν τὰ τιμιώτατα πειρωμένους σώζειν, ἐκέλευε τῇ σάλπιγγι σημαίνειν, ὡς πολεμίων ἐπιόντων, ὅπως ὅτι τάχιστα μετὰ τῶν ὅπλων ἀθροίζωνται πρὸς αὐτόν. Ὃ δὴ καὶ μόνον ἐν τῷ τότε καιρῷ τὴν Σπάρτην διέσωσεν. Οἱ γὰρ Εἵλωτες ἐκ τῶν ἀγρῶν συνέ-

δραμον πανταχόθεν, ὡς συναρπασόμενοι τοὺς σεσωσμένους τῶν Σπαρτιατῶν. Ὡπλισμένους δὲ καὶ συντεταγμένους εὑρόντες, ἀνεχώρησαν ἐπὶ τὰς πόλεις, καὶ φανερῶς ἐπολέμουν, τῶν τε περιοίκων ἀναπείσαντες οὐκ ὀλίγους, καὶ Μεσσηνίων ἅμα τοῖς Σπαρτιάταις συνεπιθεμένων. Πέμπουσιν οὖν οἱ Λακεδαιμόνιοι Περικλείδαν εἰς Ἀθήνας, δεόμενοι βοηθεῖν· ὃν φησι κωμῳδῶν Ἀριστοφάνης καθεζόμενον ἐπὶ τοῖς βωμοῖς ὠχρὸν ἐν φοινικίδι στρατιὰν ἀπαιτεῖν. Ἐφιάλτου δὲ κωλύοντος καὶ διαμαρτυρομένου μὴ βοηθεῖν, μηδ᾽ ἀνιστάναι πόλιν ἀντίπαλον ἐπὶ τὰς Ἀθήνας, ἀλλ᾽ ἐᾶν κεῖσθαι καὶ πατηθῆναι τὸ φρόνημα τῆς Σπάρτης, Κίμωνά φησι Κριτίας τὴν τῆς πατρίδος αὔξησιν ἐν ὑστέρῳ θέμενον τοῦ Λακεδαιμονίων συμφέροντος, ἀναπείσαντα τὸν δῆμον, ἐξελθεῖν βοηθοῦντα μετὰ πολλῶν ὁπλιτῶν. Ὁ δ᾽ Ἴων ἀπομνημονεύει καὶ τὸν λόγον, ᾧ μάλιστα τοὺς Ἀθηναίους ἐκίνησε, παρακαλῶν, μήτε τὴν Ἑλλάδα χωλὴν, μήτε τὴν πόλιν ἑτερόζυγα περιϊδεῖν γεγενημένην.

XVII. Ἐπεὶ δὲ, βοηθήσας τοῖς Λακεδαιμονίοις, ἀπῄει διὰ Κορίνθου τὴν στρατιὰν ἄγων, ἐνεκάλει Λάχαρτος αὐτῷ, πρὶν ἐντυχεῖν τοῖς πολίταις, εἰσαγαγόντι τὸ στράτευμα· καὶ γὰρ θύραν κόψαντας ἀλλοτρίαν, οὐκ εἰσιέναι πρότερον, ἢ τὸν κύριον κελεῦσαι. Καὶ ὁ Κίμων· „Ἀλλ᾽ οὐχ ὑμεῖς (εἶπεν), ὦ Λάχαρτε, τὰς Κλεωναίων καὶ Μεγαρέων θύρας κόψαντες, ἀλλὰ κατασχίσαντες, εἰσεβιάσασθε μετὰ τῶν ὅπλων, ἀξιοῦντες ἀνεῳγέναι πάντα τοῖς κρείσσον

δυναμένοις." Οὕτω μὲν ἐθρασύνατο πρὸς τὸν Κορίνθιον ἐν δέοντι, καὶ μετὰ τῆς στρατιᾶς διεξῆλθεν. Οἱ δὲ Λακεδαιμόνιοι τοὺς Ἀθηναίους αὖθις ἐκάλουν ἐπὶ τοὺς ἐν Ἰθώμῃ Μεσσηνίους καὶ Εἵλωτας· ἐλθόντων δὲ, τὴν τόλμαν καὶ τὴν λαμπρότητα δείσαντες, ἀπεπέμψαντο μόνους τῶν συμμάχων ὡς νεωτεριστάς. Οἱ δὲ, πρὸς ὀργὴν ἀπελθόντες, ἤδη τοῖς λακωνίζουσι φανερῶς ἐχαλέπαινον, καὶ τὸν Κίμωνα, μικρᾶς ἐπιλαβόμενοι προφάσεως, ἐξωστράκισαν εἰς ἔτη δέκα· τοσοῦτον γὰρ ἦν χρόνου τεταγμένον ἅπασι τοῖς ἐξοστρακιζομένοις. Ἐν δὲ τούτῳ τῶν Λακεδαιμονίων, ὡς ἐπανήρχοντο Δελφοὺς ἀπὸ Φωκέων ἐλευθερώσαντες, ἐν Ταναγρᾳ καταστρατοπεδευσάντων, Ἀθηναῖοι μὲν ἀπήντων διαμαχούμενοι, Κίμων δὲ μετὰ τῶν ὅπλων ἧκεν εἰς τὴν αὐτοῦ φυλὴν τὴν Οἰνηΐδα, πρόθυμος ὢν ἀμύνεσθαι τοὺς Λακεδαιμονίους μετὰ τῶν πολιτῶν. Ἡ δὲ βουλὴ τῶν πεντακοσίων πυθομένη καὶ φοβηθεῖσα, τῶν ἐχθρῶν αὐτοῦ καταβοώντων ὡς συνταράξαι τὴν φάλαγγα βουλομένου, καὶ τῇ πόλει Λακεδαιμονίους ἐπαγαγεῖν, ἀπηγόρευσε τοῖς στρατηγοῖς μὴ δέχεσθαι τὸν ἄνδρα. Κἀκεῖνος μὲν ᾤχετο, δεηθεὶς Εὐθίππου τοῦ Ἀναφλυστίου, καὶ τῶν ἄλλων ἑταίρων, ὅσοι μάλιστα τὴν τοῦ λακωνίζειν αἰτίαν ἔσχον, ἐρρωμένως ἀγωνίσασθαι πρὸς τοὺς πολεμίους, καὶ δι' ἔργων ἀπολύσασθαι τὴν αἰτίαν πρὸς τοὺς πολίτας. Οἱ δὲ, λαβόντες αὐτοῦ τὴν πανοπλίαν, εἰς τὸν λόχον ἔθεντο· καὶ μετ' ἀλλήλων συστάντες ἐκθύμως, ἑκατὸν ὄντες, ἔπεσον, πολὺν

αὐτῶν πόθον, καὶ μεταμέλειαν, ἐφ' οἷς ἠτιμάθησαν ἀδίκως, ἀπολιπόντες τοῖς Ἀθηναίοις. Ὅθεν οὐδὲ τῷ πρὸς Κίμωνα θυμῷ πολὺν χρόνον ἐνέμειναν, τὰ μὲν, ὡς εἰκὸς, ὧν ἔπαθον εὖ μεμνημένοι, τὰ δὲ τοῦ καιροῦ συλλαμβανομένου. Νενικημένοι γὰρ ἐν Τανάγρᾳ μάχῃ μεγάλῃ, καὶ προσδοκῶντες εἰς ὥραν ἔτους στρατιὰν Πελοποννησίων ἐπ' αὐτοὺς, ἐκάλουν ἐκ τῆς φυγῆς τὸν Κίμωνα, καὶ κατῆλθε, τὸ ψήφισμα γράψαντος Περικλέους. Οὕτω τότε πολιτικαὶ μὲν ἦσαν αἱ διαφοραὶ, μέτριοι δ' οἱ θυμοὶ, καὶ πρὸς τὸ κοινὸν εὐανάκλητοι συμφέρον· ἡ δὲ φιλοτιμία πάντων ἐπικρατοῦσα τῶν παθῶν, τοῖς τῆς πατρίδος ὑπεχώρει καιροῖς.

XVIII. Εὐθὺς μὲν οὖν ὁ Κίμων κατελθὼν, ἔλυσε τὸν πόλεμον, καὶ διήλλαξε τὰς πόλεις. Γενομένης δ' εἰρήνης, ὁρῶν τοὺς Ἀθηναίους ἡσυχίαν ἄγειν μὴ δυναμένους, ἀλλὰ κινεῖσθαι καὶ αὐξάνεσθαι ταῖς στρατείαις βουλομένους, ἵνα μὴ τοῖς Ἕλλησι διοχλῶσι, μηδὲ περὶ τὰς νήσους, ἢ Πελοπόννησον, ἀναστρεφόμενοι ναυσὶ πολλαῖς, αἰτίας ἐμφυλίων πολέμων, καὶ συμμαχικῶν ἐγκλημάτων ἀρχὰς ἐπισπάσωνται κατὰ τῆς πόλεως, ἐπλήρου διακοσίας τριήρεις, ὡς ἐπ' Αἴγυπτον καὶ Κύπρον αὖθις ἐκστρατευσόμενος· ἅμα μὲν ἐμμελετᾶν τοῖς πρὸς τοὺς βαρβάρους ἀγῶσι βουλόμενος τοὺς Ἀθηναίους, ἅμα δ' ὠφελεῖσθαι δικαίως, τὰς ἀπὸ τῶν φύσει πολεμίων εὐπορίας εἰς τὴν Ἑλλάδα κομίζοντας. Ἤδη δὲ παρεσκευασμένων ἁπάντων, καὶ τοῦ στρατοῦ παρὰ ταῖς

ναυσὶν ὄντος, ὄναρ εἶδεν ὁ Κίμων. Ἐδόκει κύνα θυμουμένην ὑλακτεῖν πρὸς αὐτόν, ἐκ δὲ ὑλακῆς μεμιγμένον ἀφεῖσαν ἀνθρώπου φθόγγον εἰπεῖν·

Στεῖχε· φίλος γὰρ ἔσῃ καὶ ἐμοὶ καὶ ἐμοῖς σκυλάκεσσιν.

Οὕτω δὲ δυσκρίτου τῆς ὄψεως οὔσης, Ἀστύφιλος ὁ Ποσειδωνιάτης, μαντικὸς ἀνήρ, καὶ συνήθης τῷ Κίμωνι, φράζει θάνατον αὐτῷ προσημαίνειν τὴν ὄψιν, οὕτω διαιρῶν· Κύων ἀνθρώπῳ, πρὸς ὃν ὑλακτεῖ, πολέμιος· πολεμίῳ δ' οὐκ ἄν τις μᾶλλον, ἢ τελευτήσας, φίλος γένοιτο. Τὸ δὲ μίγμα τῆς φωνῆς Μῆδον ἀποδηλοῖ τὸν ἐχθρόν· ὁ γὰρ Μήδων στρατὸς Ἕλλησιν ὁμοῦ καὶ βαρβάροις μέμικται. Μετὰ δὲ ταύτην τὴν ὄψιν, αὐτοῦ τῷ Διονύσῳ θύσαντος, ὁ μὲν μάντις ἀπέτεμε τὸ ἱερεῖον, τοῦ δ' αἵματος τὸ πηγνύμενον ἤδη μύρμηκες πολλοὶ λαμβάνοντες κατὰ μικρὸν ἔφερον πρὸς τὸν Κίμωνα, καὶ τοῦ ποδὸς περὶ τὸν μέγαν δάκτυλον περιέπλαττον, ἐπὶ πολὺν χρόνον λανθάνοντες. Ἅμα δέ πως ὅ τε Κίμων τῷ γινομένῳ προσέσχε, καὶ παρῆν ὁ θύτης ἐπιδεικνύμενος αὐτῷ τὸν λοβὸν οὐκ ἔχοντα κεφαλήν. Ἀλλ', οὐ γὰρ ἦν ἀνάδυσις τῆς στρατείας, ἐξέπλευσε, καὶ τῶν νεῶν ἑξήκοντα μὲν ἀπέστειλεν εἰς Αἴγυπτον, ταῖς δ' ἄλλαις πάλιν ἔπλει. Καὶ καταναυμαχήσας Φοινισσῶν νεῶν καὶ Κιλισσῶν βασιλικὸν στόλον, ἀνεκτᾶτό τε τὰς ἐν κύκλῳ πόλεις, καὶ τοῖς περὶ Αἴγυπτον ἐφήδρευεν, οὐδὲν μικρόν, ἀλλ' ὅλης ἐπινοῶν τῆς βασιλέως ἡγεμονίας κατάλυσιν· καὶ μάλιστα ὅτι τοῦ Θεμιστοκλέους ἐπυνθάνετο δόξαν εἶναι καὶ δύναμιν ἐν τοῖς

НБ ОНУ імені І.І. Мечникова

βαρβάροις μεγάλην, ὑποδεδεγμένου βασιλεῖ κινοῦντι τὸν Ἑλληνικὸν πόλεμον στρατηγήσειν. Θεμιστοκλῆς μὲν οὖν οὐχ ἥκιστα λέγεται τὰς Ἑλληνικὰς πράξεις ἀπογνοὺς, ὡς οὐκ ἂν ὑπερβαλόμενος τὴν Κίμωνος εὐτυχίαν καὶ ἀρετὴν, ἑκὼν τελευτῆσαι. Κίμων δὲ μεγάλων ἐπαιρόμενος ἀρχὰς ἀγώνων καὶ περὶ Κύπρον συνέχων τὸ ναυτικὸν, ἔπεμψεν εἰς Ἄμμωνος ἄνδρας, ἀπόῤῥητόν τινα μαντείαν ποιησομένους παρὰ τῷ θεῷ. Γινώσκει γὰρ οὐδεὶς, ὑπὲρ ὧν ἐπέμφθησαν· οὐδὲ χρησμὸν αὐτοῖς ὁ θεὸς ἐξήνεγκεν. Ἀλλ' ἅμα τῷ προσελθεῖν ἐκέλευσεν ἀπιέναι τοὺς θεοπρόπους· αὐτὸν γὰρ ἤδη τὸν Κίμωνα παρ' ἑαυτῷ τυγχάνειν ὄντα. Ταῦτ' ἀκούσαντες οἱ θεοπρόποι, κατέβαινον ἐπὶ θάλασσαν· γενόμενοι δ' ἐν τῷ στρατοπέδῳ τῶν Ἑλλήνων, ὃ τότε περὶ Αἴγυπτον ἦν, ἐπύθοντο τεθνάναι τὸν Κίμωνα· καὶ τὰς ἡμέρας πρὸς τὸ μαντεῖον ἀνάγοντες, ἔγνωσαν ἠνιγμένην τὴν τελευτὴν τοῦ ἀνδρὸς, ὡς ἤδη παρὰ θεοῖς ὄντος.

XIX. Ἀπέθανε δὲ πολιορκῶν Κίτιον, ὡς οἱ πλεῖστοι λέγουσι, νοσήσας· ἔνιοι δέ φασιν ἐκ τραύματος, ὃ πρὸς τοὺς βαρβάρους ἀγωνιζόμενος ἔσχε. Τελευτῶν δὲ τοὺς περὶ αὐτὸν ἐκέλευσεν εὐθὺς ἀποπλεῖν, ἀποκρυψαμένους τὸν θάνατον αὐτοῦ· καὶ συνέβη, μήτε τῶν πολεμίων, μήτε τῶν συμμάχων αἰσθομένων, ἀσφαλῶς αὐτοὺς ἀνακομισθῆναι, στρατηγουμένους ὑπὸ Κίμωνος, ὥς φησι Φανόδημος, τεθνηκότος ἐφ' ἡμέρας τριάκοντα. Μετὰ δὲ τὴν ἐκείνου τελευτὴν πρὸς μὲν τοὺς βαρβάρους οὐδὲν ἔτι λαμπρὸν ὑπ' οὐδενὸς

ἐπράχθη, στρατηγούντων Ἑλλήνων, ἀλλὰ τραπέντες ὑπὸ δημαγωγῶν καὶ πολεμοποιῶν ἐπ' ἀλλήλους, οὐδενὸς τὰς χεῖρας ἐν μέσῳ διασχόντος, συνεῤῥάγησαν εἰς τὸν πόλεμον· ἀναπνοὴ μὲν τοῖς βασιλέως πράγμασι γενόμενοι, φθόρον δ' ἀμύθητον τῆς Ἑλληνικῆς δυνάμεως ἀπεργασάμενοι. Ὀψὲ δ' οἱ περὶ τὸν Ἀγησίλαον, εἰς τὴν Ἀσίαν ἐξενεγκάμενοι τὰ ὅπλα, βραχέος ἥψαντο πολέμου πρὸς τοὺς ἐπὶ θαλάσσῃ βασιλέως στρατηγούς· καὶ λαμπρὸν οὐδὲν, οὐδὲ μέγα δράσαντες, αὖθις δὲ ταῖς Ἑλληνικαῖς στάσεσι καὶ ταραχαῖς ἀφ' ἑτέρας ἀρχῆς ὑπενεχθέντες, ᾤχοντο τοὺς Περσῶν φορολόγους ἐν μέσαις ταῖς συμμάχοις καὶ φίλαις πόλεσιν ἀπολιπόντες· ὧν οὐδὲ γραμματοφόρος κατέβαινεν, οὐδ' ἵππος πρὸς θαλάσσῃ τετρακοσίων σταδίων ἐντὸς ὤφθη, στρατηγοῦντος Κίμωνος. Ὅτι μὲν οὖν εἰς τὴν Ἀττικὴν ἀπεκομίσθη τὰ λείψανα αὐτοῦ, μαρτυρεῖ τῶν μνημάτων τὰ μέχρι νῦν Κιμώνεια προσαγορευόμενα· τιμῶσι δὲ καὶ Κιτιεῖς τάφον τινὰ Κίμωνος, ὡς Ναυσικράτης ὁ ῥήτωρ φησὶν, ἐν λιμῷ καὶ γῆς ἀφορίᾳ τοῦ θεοῦ προστάξαντος αὐτοῖς μὴ ἀμελεῖν Κίμωνος, ἀλλ' ὡς κρείττονα σέβεσθαι καὶ γεραίρειν. Τοιοῦτος μὲν ὁ Ἑλληνικὸς ἡγεμών.

# ΛΟΥΚΟΥΛΛΟΣ.

Τῷ δὲ Λουκούλλῳ πάππος μὲν ἦν ὑπατικὸς, θεῖος δὲ πρὸς μητρὸς Μέτελλος, ὁ Νομαδικὸς ἐπικληθείς. Τῶν δὲ γονέων ὁ μὲν πατὴρ ἑάλω κλοπῆς, Καικιλία δὲ ἡ μήτηρ ἠδόξησεν, ὡς οὐ βεβιωκυῖα σωφρόνως. Αὐτὸς δ᾽ ὁ Λούκουλλος, ἔτι μειράκιον ὢν, πρὶν ἀρχήν τινα μετελθεῖν καὶ πολιτείας ἅψασθαι, πρῶτον ἔργον ἐποιήσατο, τὸν τοῦ πατρὸς κατήγορον κρῖναι Σερουίλιον Αὔγουρα, λαβὼν ἀδικοῦντα δημοσία. Καὶ τὸ πρᾶγμα λαμπρὸν ἐφάνη Ῥωμαίοις, καὶ τὴν δίκην ἐκείνην, ὥσπερ ἀριστείαν, διὰ στόματος ἔσχον. Ἐδόκει δὲ καὶ ἄλλως αὐτοῖς ἄνευ προφάσεως οὐκ ἀγεννὲς εἶναι τὸ τῆς κατηγορίας ἔργον· ἀλλὰ καὶ πάνυ τοὺς νέους ἐβούλοντο τοῖς ἀδικοῦσιν ἐπιφυομένους ὁρᾶν, ὥσπερ θηρίοις εὐγενεῖς σκύλακας. Οὐ μὴν ἀλλὰ μεγάλης περὶ τὴν δίκην ἐκείνην φιλονεικίας γενομένης, ὥστε καὶ τρωθῆναί τινας καὶ πεσεῖν, ἀπέφυγεν ὁ Σερουίλιος. Ὁ δὲ Λούκουλλος ἤσκητο καὶ λέγειν ἱκανῶς ἑκατέραν γλῶτ-

НБ ОНУ імені І.І. Мечникова

ταν· ὥστε καὶ Σύλλας, τὰς αὑτοῦ πράξεις ἀναγράφων, ἐκείνῳ προσεφώνησεν, ὡς συνταξομένῳ καὶ διαθήσοντι τὴν ἱστορίαν ἄμεινον. Ἦν γὰρ οὐκ ἐπὶ τὴν χρείαν μόνην ἐμμελὴς αὐτοῦ καὶ πρόχειρος ὁ λόγος, καθάπερ ὁ τῶν ἄλλων τὴν μὲν ἀγορὰν

*Θύννος βολαῖος πέλαγος ὣς διεστρόβει·*

γενόμενος δὲ τῆς ἀγορᾶς ἐκτὸς,

*Αὖος ἀμουσίᾳ τεθνηκώς.*

ἀλλὰ καὶ τὴν ἐμμελῆ ταύτην καὶ λεγομένην ἐλευθέριον ἐπὶ τῷ καλῷ προσεποιεῖτο παιδείαν, ἔτι καὶ μειράκιον ὤν. Γενόμενος δὲ πρεσβύτερος, ἤδη παντάπασιν, ὥσπερ ἐκ τῶν πολλῶν ἀγώνων, ἀφῆκε τὴν διάνοιαν ἐν φιλοσοφίᾳ σχολάζειν καὶ ἀναπαύεσθαι, τὸ θεωρητικὸν αὐτῆς ἐγείρας· καταλύσας δ' ἐν καιρῷ καὶ κολούσας τὸ φιλότιμον ἐκ τῆς πρὸς Πομπήϊον διαφορᾶς. Περὶ μὲν οὖν τῆς φιλολογίας αὐτοῦ, πρὸς τοῖς εἰρημένοις, καὶ ταῦτα λέγεται· νέον ὄντα πρὸς Ὁρτήσιον τὸν δικολόγον, καὶ Σισεννᾶν τὸν ἱστορικὸν, ἐκ παιδιᾶς τινος εἰς σπουδὴν προελθούσης ὁμολογῆσαι, προθεμένων ποίημα καὶ λόγον Ἑλληνικόν τε καὶ Ῥωμαϊκὸν, εἰς ὅ τι ἂν λάχῃ τούτων, τὸν Μαρσικὸν ἐντενεῖν πόλεμον. Καί πως ἔοικεν εἰς λόγον Ἑλληνικὸν ὁ κλῆρος ἀφικέσθαι· διασώζεται γὰρ Ἑλληνική τις ἱστορία τοῦ Μαρσικοῦ πολέμου. Τῆς δὲ πρὸς τὸν ἀδελφὸν αὐτοῦ, Μάρκον, εὐνοίας πολλῶν τεκμηρίων ὄντων, μάλιστα Ῥωμαῖοι τοῦ πρώτου μνημονεύουσι. Πρεσβύτερος γὰρ ὢν αὐτοῦ, λαβεῖν ἀρχὴν μόνος οὐκ ἠθέλησεν, ἀλλὰ τὸν ἐκεῖνου

καιρὸν ἀναμείνας, οὕτως ἐπηγάγετο τὸν δῆμον, ὥστε σὺν ἐκείνῳ μὴ παρὼν ἀγορανόμος αἱρεθῆναι.

II. Νέος δ᾽ ὢν ἐν τῷ Μαρσικῷ πολέμῳ, πολλὰ μὲν τόλμης δείγματα παρέσχε καὶ συνέσεως. Μᾶλλον γε μὴν αὐτὸν δι᾽ εὐστάθειαν καὶ πρᾳότητα Σύλλας προσηγάγετο, καὶ χρώμενος ἀπ᾽ ἀρχῆς ἐπὶ τὰ πλείστης ἄξια σπουδῆς διετέλεσεν· ὧν ἦν καὶ ἡ περὶ τὸ νόμισμα πραγματεία. Δι᾽ ἐκείνου γὰρ ἐκόπη τὸ πλεῖστον ἐν Πελοποννήσῳ, περὶ τὸν Μιθριδατικὸν πόλεμον, καὶ Λουκούλλειον ἀπ᾽ ἐκείνου προσηγορεύθη, καὶ διετέλεσεν ἐπὶ πλεῖστον ὑπὸ τῶν στρατιωτικῶν χρειῶν ἐν τῷ πολέμῳ λαμβάνον ἀμοιβὴν ταχεῖαν. Ἐκ τούτου τῆς μὲν γῆς ἐπικρατῶν ὁ Σύλλας ἐν ταῖς Ἀθήναις, περικοπτόμενος δὲ τὴν ἀγορὰν ἐκ τῆς θαλάττης ὑπὸ τῶν πολεμίων ναυκρατούντων, ἐξέπεμψεν ἐπ᾽ Αἰγύπτου καὶ Λιβύης τὸν Λούκουλλον, ἄξοντα ναῦς ἐκεῖθεν. Ἦν μὲν οὖν ἀκμὴ χειμῶνος· ἐξέπλευσε δὲ τρισὶν Ἑλληνικοῖς μυοπάρωσι, καὶ δικρότοις ἴσαις Ῥοδιακαῖς, πρὸς μέγα πέλαγος, καὶ ναῦς πολεμίας, πανταχόσε τῷ κρατεῖν πολλὰς διαφερομένας, παραβαλλόμενος. Οὐ μὴν ἀλλὰ καὶ Κρήτην καταρας ᾠκειώσατο, καὶ Κυρηναίους καταλαβὼν ἐκ τυραννίδων συνεχῶν καὶ πολέμων ταραττομένους, ἀνέλαβε καὶ κατεστήσατο τὴν πολιτείαν, Πλατωνικῆς τινος φωνῆς ἀναμνήσας τὴν πόλιν, ἣν ἐκεῖνος ἀπεθέσπισε πρὸς αὐτούς. Δεομένων γάρ, ὡς ἔοικεν, ὅπως αὐτοῖς νόμους γράψῃ, καὶ τὸν δῆμον αὐτῶν εἰς τύπον τινὰ καταστήσῃ πολιτείας σώφρονος,

ἔφη, χαλεπὸν εἶναι Κυρηναίοις, οὕτως εὐτυχοῦσι, νομοθετεῖν. Οὐδὲν γὰρ ἀνθρώπου δυσαρκτότερον, εὖ πράσσειν δοκοῦντος· οὐδ' αὖ πάλιν δεκτικώτερον ἐπιστασίας, συσταλέντος ὑπὸ τῆς τύχης. Ὃ καὶ τότε Κυρηναίους νομοθετοῦντι Λουκούλλῳ πράους παρέσχεν. Ἐκεῖθεν δ' ἀναχθεὶς ἐπ' Αἴγυπτον, τὰ πλεῖστα τῶν σκαφῶν ἀπέβαλε, πειρατῶν ἐπιφανέντων· αὐτὸς δὲ διασωθεὶς, κατήγετο λαμπρῶς εἰς Ἀλεξάνδρειαν. Ἀπήντησε γὰρ αὐτῷ σύμπας ὁ στόλος, ὥσπερ εἰώθει βασιλεῖ καταπλέοντι, κεκοσμημένος ἐκπρεπῶς· καὶ τὸ μειράκιον ὁ Πτολεμαῖος ἄλλην τε θαυμαστὴν ἐπεδείκνυτο φιλοφροσύνην πρὸς αὐτὸν, οἴκησίν τε καὶ δίαιταν ἐν τοῖς βασιλείοις ἔδωκεν, οὐδενός πω ξένου πρότερον ἡγεμόνος αὐτόθι καταχθέντος. Δαπάνην δὲ καὶ σύνταξιν, οὐχ ὅσην ἐδίδου τοῖς ἄλλοις, ἀλλὰ τετραπλῆν ἐκείνῳ παρεῖχεν, οὐ προσιεμένῳ τῶν ἀναγκαίων πλέον οὐδὲν, οὐδὲ δῶρον λαβόντι, καίπερ ὀγδοήκοντα ταλάντων ἄξια πέμψαντος αὐτῷ. Λέγεται δὲ μήτ' εἰς Μέμφιν ἀναβῆναι, μήτ' ἄλλο τῶν θαυμαζομένων ἐν Αἰγύπτῳ καὶ περιβοήτων ἱστορῆσαι· σχολάζοντος γὰρ εἶναι ταῦτα θεατοῦ καὶ τρυφῶντος, οὐχ, ὡς αὐτὸς, ἐν ὑπαίθρῳ τὸν αὐτοκράτορα σκηνοῦντι παρὰ ταῖς ἐπάλξεσι τῶν πολεμίων ἀπολελοιπότος.

III. Ἐπεὶ δ' ἀπεῖπε τὴν συμμαχίαν ὁ Πτολεμαῖος, πρὸς τὸν πόλεμον ἀποδειλιάσας, ἐκείνῳ δὲ ναῦς ἄχρι Κύπρου πομποὺς παρέσχε, καὶ περὶ τὸν ἔκπλουν αὐτὸν ἀσπαζόμενος καὶ θεραπεύων, ἐδω-



НБ ОНУ імені І.І. Мечникова

ρεῖτο χρυσένδετον σμάραγδον τῶν πολυτελῶν, τὸ μὲν πρῶτον ὁ Λούκουλλος παρῃτεῖτο· δείξαντος δὲ τὴν γλυφὴν τοῦ βασιλέως εἰκόνα οὖσαν ἰδίαν, ἐφοβήθη διώσασθαι, μὴ παντάπασιν ἐχθρὸς ἀποπλεῖν νομισθεὶς, ἐπιβουλευθείη κατὰ θάλατταν. Ἐπεὶ δὲ πλῆθος ἐν παράπλῳ νεῶν ἐκ τῶν παραλίων πόλεων ἀθροίσας, πλὴν ὅσαι πειρατικῶν μετεῖχον ἀδικημάτων, εἰς τὴν Κύπρον διεπέρασεν, ἐνταῦθα πυνθανόμενος τοὺς πολεμίους ναυλοχοῦντας ἐπὶ ταῖς ἄκραις παραφυλάττειν αὐτὸν, ἐνεώλκησε τὰ σκάφη πάντα, καὶ ταῖς πόλεσιν ἔγραφε περὶ χειμαδίων καὶ ἀγορᾶς, ὡς αὐτόθι τὴν ὥραν ἀναμενῶν. Εἶτα πλοῦ φανέντος, ἐξαπίνης κατασπάσας τὰς ναῦς ἀνήχθη, καὶ μεθ' ἡμέραν μὲν ὑφειμένοις πλέων τοῖς ἱστίοις καὶ ταπεινοῖς, νύκτωρ δ' ἐπαιρομένοις, εἰς Ῥόδον ἐσώθη. Ῥοδίων δὲ ναῦς αὐτῷ προσπαρασχόντων, Κῴους ἔπεισε καὶ Κνιδίους τῶν βασιλικῶν ἀπαλλαγέντας ἐπὶ Σαμίους συστρατεύειν. Ἐκ δὲ Χίου τοὺς βασιλικοὺς αὐτὸς ἐξήλασε, Κολοφωνίους δ' ἠλευθέρωσε, συλλαβὼν Ἐπίγονον, τὸν τύραννον αὐτῶν. Ἐτύγχανε δὲ κατ' ἐκεῖνον τὸν χρόνον ἤδη Μιθριδάτης τὸ Πέργαμον ἐκλελοιπὼς, καὶ συνεσταλμένος εἰς Πιτάνην. Ἐκεῖ δὲ Φιμβρίου κατέχοντος αὐτὸν ἐκ γῆς καὶ πολιορκοῦντος, εἰς τὴν θάλατταν ἀφορῶν, συνῆγε καὶ μετεπέμπετο τοὺς πανταχόθεν στόλους πρὸς αὐτὸν, ἀνδρὶ τολμητῇ καὶ νενικηκότι τῷ Φιμβρίᾳ συμπλέκεσθαι καὶ πολεμεῖν ἀπεγνωκώς. Ὁ δὲ, ταῦτα συνορῶν, ναυτικῷ δὲ λει-

НБ ОНУ імені І.І. Мечникова

πόμενος, πρὸς Λούκουλλον ἔπεμπεν, ἥκειν τῷ στόλῳ δεόμενος, καὶ συνεξελεῖν ἔχθιστον καὶ πολεμιώτατον βασιλέων· ὡς μὴ τὸ μέγα καὶ διὰ πολλῶν ἀγώνων καὶ πόνων διωκόμενον ἆθλον ἐκφύγοι Ῥωμαίους Μιθριδάτης, εἰς λαβὰς ἥκων καὶ γεγονὼς ἐντὸς ἀρκύων· οὗ ληφθέντος, οὐδένα τῆς δόξης οἴσεσθαι πλέον, ἢ τὸν ἐμποδὼν τῇ φυγῇ στάντα, καὶ διαδιδράσκοντος ἐπιλαβόμενον· ὃν ὑφ᾿ ἑαυτοῦ μὲν ἐξεωσμένον τῆς γῆς, ὑπ᾿ ἐκείνου δὲ τῆς θαλάττης εἰργόμενον, ἀμφοτέροις ἀποδώσειν τὸ κατόρθωμα, τὰς δὲ Σύλλα πρὸς Ὀρχομενῷ καὶ Χαιρωνείᾳ ὑμνουμένας ἀριστείας ἐν οὐδενὶ λόγῳ θήσεσθαι Ῥωμαίους. Καὶ οὐδὲν ἦν ἄπο τρόπου τῶν λεγομένων, ἀλλὰ παντὶ δῆλον, ὡς, εἰ Φιμβρίᾳ τότε πεισθεὶς ὁ Λούκουλλος, οὐ μακρὰν ὢν, περιήγαγεν ἐκεῖσε τὰς ναῦς, καὶ συνέφραξε τὸν λιμένα τῷ στόλῳ, πέρας ἂν εἶχεν ὁ πόλεμος, καὶ μυρίων ἀπηλλαγμένοι κακῶν ἅπαντες ἦσαν. Ἀλλ᾿, εἴτε τὰ πρὸς Σύλλαν δίκαια πρεσβεύων πρὸ παντὸς ἰδίου καὶ κοινοῦ συμφέροντος, εἴτε τὸν Φιμβρίαν, μιαρὸν ὄντα, καὶ φονέα γεγενημένον ἔναγχος ἀνδρὸς φίλου καὶ στατηγοῦ διὰ φιλαρχίαν, προβαλλόμενος, εἴτε κατὰ θείαν δή τινα τύχην περιφεισάμενος αὐτὸς τοῦ Μιθριδάτου, καὶ φυλάξας ἀνταγωνιστήν, οὐχ ὑπήκουσεν. Ἀλλὰ Μιθριδάτῃ μὲν ἐκπλεῦσαι παρέσχε, καὶ καταγελάσαι τῆς Φιμβρίου δυνάμεως. Αὐτὸς δὲ πρῶτον μὲν ἐπὶ Λεκτοῦ τῆς Τρῳάδος βασιλικὰς ναῦς ἐπιφανείσας κατεναυμάχησεν· αὖθις δὲ πρὸς Τενέδῳ ναυλοχοῦντα

μείζονι παρασκευῇ κατιδὼν Νεοπτόλεμον, ἐπέπλει πρὸ τῶν ἄλλων, Ῥοδιακῆς πεντήρους ἐπιβεβηκὼς, ἧς ἐναυάρχει Δημαγόρας, ἀνὴρ εὔνους τε Ῥωμαίοις καὶ θαλασσίων ἀγώνων ἐμπειρότατος. Ἐπελαύνοντος δὲ ῥοθίῳ τοῦ Νεοπτολέμου, καὶ κελεύσαντος εἰς ἐμβολὴν ἀγαγεῖν τὸν κυβερνήτην, δείσας ὁ Δημαγόρας τὸ βάρος τῆς βασιλικῆς, καὶ τὴν τραχύτητα τοῦ χαλκώματος, οὐκ ἐτόλμησε συμπεσεῖν ἀντίπρωρος, ἀλλ' ὀξέως ἐκ περιαγωγῆς ἀποστρέψας, ἐκέλευσεν ἐπὶ πρύμναν ὤσασθαι· καὶ πιεσθείσης ἐνταῦθα τῆς νεὼς, ἐδέξατο τὴν πληγὴν ἀβλαβῆ γενομένην, ἅτε δὴ τοῖς θαλαττεύουσι τῆς νεὼς μέρεσι προσπεσοῦσαν. Ἐν τούτῳ δὲ τῶν φίλων προσφερομένων, ἐγκελευσάμενος ὁ Λούκουλλος ἐπιστρέφει, καὶ πολλὰ δράσας ἄξια λόγου, τρέπεται τοὺς πολεμίους, καὶ καταδιώκει τὸν Νεοπτόλεμον.

IV. Ἐκεῖθεν δὲ Σύλλᾳ περὶ Χεῤῥόνησον ἤδη μέλλοντι διαβαίνειν συμβαλὼν, τόν τε πόρον ἀσφαλῆ παρεῖχε, καὶ τὴν στρατιὰν συνδιεβίβαζεν. Ἐπεὶ δὲ, συνθηκῶν γενομένων, Μιθριδάτης μὲν ἀπέπλευσεν εἰς τὸν Εὔξεινον πόντον, Σύλλας δὲ τὴν Ἀσίαν δισμυρίοις ταλάντοις ἐζημίωσε, προσταχθὲν αὐτῷ τά τε χρήματα ταῦτα πρᾶξαι, καὶ νόμισμα κόψαι, παραμύθιόν τι δοκεῖ τῆς Σύλλα χαλεπότητος γενέσθαι ταῖς πόλεσιν, οὐ μόνον καθαρὸν καὶ δίκαιον, ἀλλὰ καὶ πρᾶον εἰς οὕτω βαρὺ καὶ σκυθρωπὸν ὑπηρέτημα παρασχὼν ἑαυτόν. Μιτυληναίους δ' ἄντικρυς ἀφεστῶτας ἐβούλετο μὲν εὐγνωμονῆσαι καὶ δίκης τυχεῖν

μετρίας, ἐφ' οἷς περὶ Μάριον ἐξήμαρτον· ὡς δ' ἑώρα κακοδαιμονῶντας, ἐπιπλεύσας ἐκράτησε μάχῃ καὶ κατέκλεισεν εἰς τὰ τείχη, καὶ πολιορκίαν συστησάμενος, ἐξέπλευσε μὲν καὶ φανερῶς ἡμέρας εἰς Ἐλέαν, ὑπέστρεψε δὲ λεληθότως, καὶ περὶ τὴν πόλιν ὑφεὶς ἐνέδραν ἡσύχαζεν. Ἐπεὶ δ' ἀτάκτως καὶ μετὰ θράσους, ὡς ἔρημον ἁρπασόμενοι τὸ στρατόπεδον, οἱ Μιτυληναῖοι προσῆλθον, ἐπεισπεσὼν αὐτοῖς, ἔλαβέ τε παμπόλλους ζῶντας, καὶ τῶν ἀμυνομένων πεντακοσίους ἀπέκτεινεν· ἀνδραπόδων δὲ χιλιάδας ἓξ καὶ τὴν ἄλλην ἀναρίθμητον ἠλάσατο λείαν. Τῶν δὲ περὶ τὴν Ἰταλίαν κακῶν, ἃ τότε Σύλλας καὶ Μάριος ἄφθονα καὶ παντοδαπὰ τοῖς ἀνθρώποις παρεῖχον, οὐ πάνυ μετέσχε, θείᾳ τινὶ τύχῃ περὶ τὰς ἐν Ἀσίᾳ πράξεις βραδύνας. Οὐ μὴν ἔλαττόν τι παρὰ Σύλλα τῶν ἄλλων φίλων ἔσχεν, ἀλλὰ τήν τε γραφήν, ὡς εἴρηται, τῶν ὑπομνημάτων ἐκείνῳ δι' εὔνοιαν ἀνέθηκε, καὶ τελευτῶν ἐπίτροπον τοῦ παιδὸς ἔγραψεν, ὑπερβὰς Πομπήϊον. Καὶ δοκεῖ τοῦτο πρῶτον αὐτοῖς ὑπάρξαι διαφορᾶς αἴτιον καὶ ζηλοτυπίας, νέοις οὖσι καὶ διαπύροις πρὸς δόξαν.

V. Ὀλίγῳ δ' ὕστερον ἢ Σύλλαν ἀποθανεῖν, ὑπάτευσε μετὰ Μάρκου Κόττα, περὶ τὴν ἕκτην καὶ ἑβδομηκοστὴν πρὸς ταῖς ἑκατὸν ὀλυμπιάδα. Πολλῶν οὖν αὖθις ἀνακινούντων τὸν Μιθριδατικὸν πόλεμον, ἔφη Μάρκος αὐτὸν οὐ πεπαῦσθαι, ἀλλ' ἀναπεπαῦσθαι. Διὸ καὶ λαχὼν τῶν ἐπαρχιῶν ὁ Λούκουλλος τὴν ἐντὸς Ἄλπεων Γαλατίαν, ἤχθετο, πράξεων ὑποθέσεις μη-

НБОНУ імені М. Максимовича

γάλων οὐκ ἔχουσαν. Μάλιστα δ' αὐτὸν εὐδοκιμῶν Πομπήϊος ἐν Ἰβηρίᾳ παρώξυνεν, ὡς ἄλλος οὐδεὶς, ἐπίδοξος ὢν, εἰ συμβαίη παύσασθαι τὸν Ἰβηρικὸν πόλεμον, εὐθὺς αἱρεθήσεσθαι στρατηγὸς ἐπὶ Μιθριδάτην. Δι' ὃ καὶ χρήματα αἰτοῦντος αὐτοῦ, καὶ γράφοντος, ὡς, εἰ μὴ πέμποιεν, ἀφεὶς Ἰβηρίαν καὶ Σερτώριον, εἰς Ἰταλίαν ἀπάξει τὰς δυνάμεις, συνέπραξεν ὁ Λούκουλλος προθυμότατα πεμφθῆναι τὰ χρήματα, καὶ μηδ' ἀφ' ἡστινοσοῦν προφάσεως ἐκεῖνον ἐπανελθεῖν, ὑπατεύοντος αὐτοῦ· πάντα γὰρ ἂν ὑπ' ἐκείνῳ γενήσεσθαι τὰ τῆς πόλεως, παρόντι μετὰ τοσαύτης στρατιᾶς. Καὶ γὰρ ὁ κρατῶν τότε τῆς πολιτείας, τῷ πρὸς χάριν ἅπαντα καὶ λέγειν καὶ πράττειν, Κέθηγος, ἔχθραν τινὰ πρὸς Λούκουλλον εἶχε, βδελυττόμενον αὐτοῦ τὸν βίον, αἰσχρῶν ἐρώτων καὶ ὕβρεως καὶ πλημμελείας μεστὸν ὄντα. Τοῦτον μὲν οὖν ἄντικρυς ἐπολέμει· Λεύκιον δὲ Κοΐντιον, ἄλλον δημαγωγὸν, ἐπαναστάντα τοῖς Σύλλα πολιτεύμασι, καὶ ταράττειν τὰ πράγματα πειρώμενον ἐκ τοῦ καθεστῶτος, ἰδίᾳ τε πολλὰ παραμυθούμενος, καὶ δημοσίᾳ νουθετῶν, ἀπέστησε τῆς πείρας, καὶ κατεστόρεσε τὴν φιλοτιμίαν, ὡς ἐνῆν μάλιστα πολιτικῶς καὶ σωτηρίως ἀρχὴν νοσήματος μεγάλου μεταχειρισάμενος.

VI. Ἐν τούτῳ δ' ὁ τὴν Κιλικίαν ἔχων Ὀκταούϊος ἠγγέλθη τεθνηκώς. Σπαργώντων δὲ πολλῶν ἐπὶ τὴν ἐπαρχίαν, καὶ Κέθηγον, ὡς δυνατώτατον ὄντα διαπράξασθαι, θεραπευόντων, αὐτῆς μὲν ὁ Λούκουλ-

λος Κιλικίας οὐ πολὺν εἶχε λόγον· οἰόμενος δ᾽, εἰ λάβοι ταύτην, ἐγγὺς οὔσης Καππαδοκίας, ἄλλον οὐδένα πεμφθήσεσθαι πολεμήσοντα Μιθριδάτῃ, πᾶσαν ἔστρεφε μηχανὴν ὑπὲρ τοῦ μὴ προέσθαι τὴν ἐπαρχίαν ἑτέρῳ. Καὶ τελευτῶν, ἔργον οὐ σεμνὸν, οὐδ᾽ ἐπαινετὸν, ἄλλως δ᾽ ἀνύσιμον πρὸς τὸ τέλος, ἐκ τῆς ἀνάγκης ὑπέμεινε παρὰ τὴν ἑαυτοῦ φύσιν. Πραικία τις ἦν ὄνομα, τῶν ἐφ᾽ ὥρᾳ καὶ λαμυρίᾳ διαβοήτων ἐν τῇ πόλει, τὰ μὲν ἄλλα κρείττων οὐδὲν ἀνέδην ἑταιρούσης γυναικός· ἐκ δὲ τοῦ χρῆσθαι τοῖς ἐντυγχάνουσιν αὐτῇ καὶ διαλεγομένοις πρὸς τὰς ὑπὲρ τῶν φίλων σπουδὰς καὶ πολιτείας, προσλαβοῦσα τῇ λοιπῇ χάριτι τὸ δοκεῖν φιλέταιρός τις εἶναι καὶ δραστήριος, ἴσχυσε μέγιστον. Ὡς δὲ Κέθηγον ἀνθοῦντα τῇ δόξῃ τότε καὶ φέροντα τὴν πόλιν ὑπηγάγετο, καὶ συνῆν ἐρῶντι, παντάπασιν εἰς ἐκείνην περιῆλθεν ἡ τῆς πόλεως δύναμις. Οὐδὲ γὰρ ἐπράττετό τι δημοσίᾳ, Κεθήγου μὴ σπουδάζοντος, οὐδὲ Πραικίας μὴ κελευούσης, παρὰ Κεθήγῳ. Ταύτην οὖν ὑπελθὼν δώροις ὁ Λούκουλλος καὶ κολακείαις, (ἦν δέ που καὶ τῷ Λουκούλλῳ συμφιλοτιμουμένην ὁρᾶσθαι, μέγας γυναικὶ σοβαρᾷ καὶ πανηγυρικῇ μισθός) εὐθὺς εἶχε τὸν Κέθηγον ἐπαινέτην, καὶ προμνώμενον αὐτῷ Κιλικίαν. Ἐπεὶ δ᾽ ἅπαξ ἔτυχε ταύτης, οὐδὲν ἔτι Πραικίαν, οὐδὲ Κέθηγον ἔδει παρακαλεῖν, ἀλλὰ πάντες ὁμαλῶς ἐκείνῳ φέροντες ἐνεχείρισαν τὸν Μιθριδατικὸν πόλεμον, ὡς ὑφ᾽ ἑτέρου μηδενὸς ἄμεινον διαπολεμηθῆναι δυνάμενον· Πομπηΐου μὲν ἔτι

НБ ОНУ імені І.І. Мечникова

Σερτωρίῳ προσπολεμοῦντος, Μετέλλου δ' ἀπειρηκότος ἤδη διὰ γῆρας, οὓς μόνους ἄν τις ἐναμίλλους ἐποιήσατο Λουκούλλῳ περὶ τῆς στρατηγίας ἀμφισβητοῦντας. Οὐ μὴν ἀλλὰ Κόττας, ὁ συνάρχων αὐτοῦ, πολλὰ λιπαρήσας τὴν σύγκλητον, ἀπεστάλη μετὰ νεῶν τὴν Προποντίδα φυλάξων, καὶ προπολεμήσων Βιθυνίας.

VII. Λούκουλλος δὲ, τάγμα μὲν αὐτόθεν ἔχων συντεταγμένον ὑπ' αὐτοῦ, διέβαινεν εἰς τὴν Ἀσίαν· ἐκεῖ δὲ τὴν ἄλλην παρέλαβε δύναμιν, πάντων μὲν πάλαι τρυφαῖς διεφθορότων καὶ πλεονεξίαις, τῶν δὲ Φιμβριανῶν λεγομένων καὶ διὰ συνήθειαν ἀναρχίας δυσμεταχειρίστων γεγονότων. Οὗτοι γὰρ ἦσαν οἱ Φλάκκον τε μετὰ Φιμβρίου τὸν ὕπατον καὶ στρατηγὸν ἀνῃρηκότες, αὐτόν τε Φιμβρίαν Σύλλᾳ προδεδωκότες, αὐθάδεις μὲν ἄνθρωποι καὶ παράνομοι, μάχιμοι δὲ καὶ τλήμονες μετ' ἐμπειρίας πολέμου. Οὐ μὴν ἀλλὰ βραχεῖ χρόνῳ καὶ τούτων τὸ θράσος ὁ Λούκουλλος ἐξέκοψε, καὶ τοὺς ἄλλους ἐπέστρεψε, τότε πρῶτον, ὡς ἔοικε, πειρωμένους ἄρχοντος ἀληθινοῦ καὶ ἡγεμόνος· ἄλλως δ' ἐδημαγωγοῦντο πρὸς ἡδονὴν ἐθιζόμενοι στρατεύεσθαι. Τὰ δὲ τῶν πολεμίων οὕτως εἶχε. Μιθριδάτης, ὥσπερ οἱ πολλοὶ τῶν σοφιστῶν, κομπώδης ἐν ἀρχῇ καὶ σοβαρὸς ἐπὶ Ῥωμαίους ἀναστὰς διακένῳ δυνάμει, λαμπρᾷ δὲ καὶ πανηγυρικῇ τὴν ὄψιν· εἶτ' ἐκπεσὼν καταγελάστως, καὶ νουθετηθεὶς, ὅτε τὸ δεύτερον πολεμεῖν ἔμελλεν, εἰς ἀληθινὴν καὶ πραγματικὴν συνέστελλε τὰς δυνά-

НБ ОНУ імені І.І. Мечникова

μεις παρασκευήν. Ἀφελὼν γὰρ τὰ παντοδαπὰ πλήθη καὶ τὰς πολυγλώσσους ἀπειλὰς τῶν βαρβάρων, ὅπλων δὲ διαχρύσων καὶ διαλίθων κατασκευὰς, ὡς λάφυρα τῶν κρατούντων, οὐκ ἀλκὴν τινα τῶν κεκτημένων ὄντα, ξίφη μὲν ἤλαυνε τὰ Ῥωμαϊκὰ, καὶ θυρεοὺς ἐμβριθεῖς ἐπήγνυτο, καὶ γεγυμνασμένους μᾶλλον, ἢ κεκοσμημένους, ἤθροιζεν ἵππους, πεζῶν δὲ μυριάδας δώδεκα κατεσκευασμένων εἰς φάλαγγα Ῥωμαϊκὴν, ἱππεῖς δὲ πρὸς μυρίοις ἑξακισχιλίους, ἄνευ τῶν δρεπανηφόρων τεθρίππων, ταῦτα δ' ἦν ἑκατόν· ἔτι δὲ ναῦς οὐ χρυσορόφοις σκηνίσιν, οὐδὲ λουτροῖς παλλακίδων καὶ γυναικωνίτισι τρυφώσαις ἠσκημένας, ἀλλ' ὅπλων καὶ βελῶν καὶ χρημάτων γεμούσας παρτυσάμενος, ἐνέβαλεν εἰς Βιθυνίαν, τῶν πόλεων αὖθις ἀσμένως ὑποδεχομένων, οὐ μόνον τούτων· ἀλλὰ καὶ τὴν Ἀσίαν ὅλην ὑποτροπὴ τῶν ἔμπροσθεν νοσημάτων εἶχεν, ἀφόρητα πάσχουσαν ὑπὸ Ῥωμαϊκῶν δανειστῶν καὶ τελωνῶν· οὓς ὕστερον μὲν, ὥσπερ Ἁρπυίας, τὴν τροφὴν ἁρπάζοντας αὐτῶν, ὁ Λούκουλλος ἐξήλασε, τότε δὲ μετριωτέρους ἐπειρᾶτο νουθετῶν ποιεῖν, καὶ τὰς ἀποστάσεις κατέπαυε τῶν δήμων, οὐδενὸς, ὡς ἔπος εἰπεῖν, ἡσυχάζοντος.

VIII. Ὃν δὲ περὶ ταῦτα Λούκουλλος ἠσχολεῖτο χρόνον, αὑτοῦ καιρὸν εἶναι νομίζων ὁ Κόττας, παρεσκευάζετο μάχεσθαι πρὸς Μιθριδάτην. Καὶ πολλῶν ἀπαγγελλόντων, ἤδη Λούκουλλον ἐν Φρυγίᾳ στρατοπεδεύειν ἐπιόντα, μόνον οὐκ ἐν ταῖς χερσὶν ἔχειν τὸν θρίαμβον οἰόμενος, ὡς μὴ μεταλάβοι Λού-

НБ ОНУ імені І.І. Мечникова

κουλλος αὐτοῦ, συμβαλεῖν ἔσπευσε. Πληγεὶς δ' ἅμα καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ἑξήκοντα μὲν ἀπώλεσεν αὔτανδρα σκάφη, πεζοὺς δὲ τετρακισχιλίους· αὐτὸς δὲ κατακλεισθεὶς εἰς Χαλκηδόνα καὶ πολιορκούμενος, εἰς τὰς Λουκούλλου χεῖρας ἀπέβλεπεν. Ἦσαν μὲν οὖν οἱ τὸν Λούκουλλον, ἀμελήσαντα Κόττα, πρόσω χωρεῖν παρορμῶντες, ὡς ἔρημον αἱρήσοντα τὴν Μιθριδάτου βασιλείαν· καὶ μάλιστα τῶν στρατιωτῶν οὗτος ἦν ὁ λόγος, ἀγανακτούντων, εἰ μὴ μόνον αὑτὸν ἀπολεῖ καὶ τοὺς σὺν αὐτῷ βουλευσάμενος κακῶς ὁ Κόττας, ἀλλὰ καὶ σφίσιν ἐμποδὼν ἔσται νικᾶν ἀμαχεὶ δυναμένοις. Λούκουλλος δὲ πρὸς μὲν τούτους δημηγορῶν εἶπεν, ὡς ἕνα βούλοιτ' ἂν ἐκ πολεμίων σῶσαι Ῥωμαῖον, ἢ πάντα λαβεῖν τὰ τῶν πολεμίων. Ἀρχελάου δὲ τοῦ περὶ Βοιωτίαν Μιθριδάτῃ στρατηγήσαντος, εἶτ' ἀποστάντος καὶ Ῥωμαίοις συστρατεύοντος, διαβεβαιουμένου ὀφθέντα Λούκουλλον ἐν Πόντῳ πάντων ὁμοῦ κρατήσειν, οὐκ ἔφη δειλότερος εἶναι τῶν κυνηγῶν, ὥστε τὰ θηρία παρελθὼν ἐπὶ κενοὺς αὐτῶν τοὺς φωλεοὺς βαδίζειν. Καὶ ταῦτ' εἰπὼν, ἐπὶ Μιθριδάτην προῆγε, πεζοὺς μὲν ἔχων τρισμυρίους, ἱππεῖς δὲ δισχιλίους πεντακοσίους. Καταστὰς δ' εἰς ἔποψιν τῶν πολεμίων, καὶ θαυμάσας τὸ πλῆθος, ἐβούλετο μὲν ἀπέχεσθαι μάχης, καὶ τρίβειν τὸν χρόνον· Μαρίου δ', ὃν Σερτώριος ἐξ' Ἰβηρίας ἀπεστάλκει Μιθριδάτῃ μετὰ δυνάμεως στρατηγὸν, ἀπαντήσαντος αὐτῷ καὶ προκαλουμένου, κατέστη μὲν εἰς τάξιν, ὡς διαμαχου-

НБ ОНУ імені І.І. Мечникова

μενος. Ἤδη δὲ ὅσον οὔπω συμφερομένων, ἀπ' οὐδεμιᾶς ἐπιφανοῦς μεταβολῆς, ἀλλ' ἐξαίφνης τοῦ ἀέρος ἀποῤῥαγέντος, ὤφθη μέγα σῶμα φλογοειδὲς εἰς μέσον τῶν στρατοπέδων καταφερόμενον, τὸ μὲν σχῆμα πίθῳ μάλιστα, τὴν δὲ χρόαν ἀργύρῳ διαπύρῳ προσεοικός· ὥστε δείσαντας ἀμφοτέρους τὸ φάσμα διακριθῆναι. Τοῦτο μὲν οὖν φασιν ἐν Φρυγίᾳ περὶ τὰς λεγομένας Ὀτρύας συμβῆναι τὸ πάθος. Ὁ δὲ Λούκουλλος, οὐδεμιᾶς εἶναι νομίζων ἀνθρωπίνης παρασκευῆς, οὐδὲ πλούτου, θρέψαι μυριάδας ἐπὶ πολὺν χρόνον, ἀντικαθημένων πολεμίων, τοσαύτας, ὅσας εἶχε Μιθριδάτης, ἐκέλευσεν ἀχθῆναι τῶν αἰχμαλώτων ἕνα· καὶ πρῶτον ἀνέκρινε, μετὰ πόσων διαιτῷτο συσκήνων, ἔπειτα πόσον ἐν τῇ σκηνῇ κατέλιπε σῖτον. Ἀποκριναμένου δὲ τἀνθρώπου, τὸν μὲν ἐκέλευσε μεταστῆναι, δεύτερον δὲ καὶ τρίτον ὁμοίως ἀνέκρινεν. Εἶτα συνθεὶς τὸ τῆς παρεσκευασμένης τροφῆς πλῆθος πρὸς τὸ τῶν τρεφομένων, ἔγνω τριῶν ἢ τεσσάρων ἡμερῶν ἐπιλείψοντα τὸν σῖτον τοὺς πολεμίους. Καὶ πολὺ μᾶλλον εἴχετο τοῦ χρόνου, καὶ συνῆγεν εἰς τὸν χάρακα παμπληθῆ σῖτον, ὡς ἐν ἀφθόνοις διάγων αὐτὸς ἐφεδρεύῃ ταῖς ἐκείνων ἀπορίαις.

IX. Ἐν τούτῳ δὲ Μιθριδάτης ἐπεβούλευε Κυζικηνοῖς πεπληγόσιν ἐν τῇ περὶ Χαλκηδόνα μάχῃ· τρισχιλίων γὰρ ἀνδρῶν καὶ δέκα νεῶν ἐστέρηντο. Βουλόμενος οὖν λαθεῖν τὸν Λούκουλλον, εὐθὺς ἀπὸ δείπνου, νύκτα δυσφανῆ καὶ νοτερὰν ἔχων, ἐκίνει καὶ φθάνει τῆς πόλεως ἀντικρὺς ἅμ' ἡμέρᾳ περὶ τὸ

τῆς Ἀδραστείας ὄρος ἱδρύσας τὴν δύναμιν. Ὁ δὲ Λούκουλλος, αἰσθόμενος καὶ διώξας, ἠγάπησε μὲν οὐκ ἐμπεσὼν ἀσυντάκτως εἰς τοὺς πολεμίους, καθίζει δὲ τὸν στρατὸν περὶ τὴν Θρακείαν λεγομένην κώμην, ἐν τόπῳ κατὰ τῶν ὁδῶν ἄριστα πεφυκότι, καὶ τῶν χωρίων, ἀφ᾽ ὧν καὶ δι᾽ ὧν ἀναγκαῖον ἦν τοῖς Μιθριδατικοῖς τὰ ἐπιτήδεια φοιτᾶν. Διὸ καὶ περιλαβὼν τῇ διανοίᾳ τὸ μέλλον, οὐκ ἀπεκρύψατο τοὺς στρατιώτας, ἀλλ᾽ ἅμα τῷ θέσθαι τὸ στρατόπεδον, καὶ ἀπὸ τῶν ἔργων γενέσθαι, συναγαγὼν αὐτοὺς, ἐμεγαληγόρησεν, ὡς ὀλίγων ἡμερῶν ἀναιμωτὶ τὸ νίκημα παραδώσων αὐτοῖς. Κυζικηνοὺς δὲ Μιθριδάτης δέκα μὲν ἐκ γῆς στρατοπέδοις περιλαβὼν, ταῖς δὲ ναυσὶν ἐκ θαλάσσης τὸν ἀπὸ τῆς ἠπείρου διείργοντα τὴν πόλιν εὔριπον ἐμφράξας, ἑκατέρωθεν ἐπολιόρκει, τὰ μὲν ἄλλα διακειμένους πρὸς τὸν κίνδυνον εὐθαρσῶς, καὶ πᾶν ἕνεκα Ῥωμαίων ἐγνωκότας ἐκδέχεσθαι δυσχερές· ἀγνοοῦντας δὲ, ὅπη Λούκουλλος εἴη, καὶ τῷ μηδὲν περὶ αὐτοῦ πεπύσθαι ταραττομένους. Καίτοι καταφανὴς ἦν ἡ στρατοπεδεία καὶ ἄποπτος, ἀλλ᾽ ὑπὸ τῶν Μιθριδατικῶν ἐξηπατῶντο. Δεικνύντες γὰρ αὐτοῖς τοὺς Ῥωμαίους ἄνω παρεμβεβληκότας· „Ὁρᾶτε τούτους; (ἔφασαν)· Ἀρμενίων στρατός ἐστι καὶ Μήδων, Τιγράνου Μιθριδάτῃ καταπέμψαντος ἐπικουρίαν.“ Οἱ δ᾽ ἐξεπλήσσοντο, τοσούτου πολέμου περικεχυμένου, μηδ᾽, εἰ παραγένοιτο Λούκουλλος, χώραν ἔτι λελεῖφθαι βοηθείας ἐλπίζοντες. Οὐ μὴν ἀλλὰ πρῶτος αὐτοῖς εἰσπεμφθεὶς

НБ ОНУ імені І.І. Мечникова

ὑπ' Ἀρχελάου Δημῶναξ ἔφρασε τὴν τοῦ Λουκούλλου παρουσίαν. Τούτων δ' ἀπιστούντων, καὶ νομιζόντων αὐτὸν τῶν παρόντων ἐπὶ παρηγορίᾳ πεπλασμένα λέγειν, ἧκε παιδάριον αἰχμάλωτον ἐκ τῶν πολεμίων ἀποδεδρακός. Πυνθανομένων δ' αὐτῶν, ποῦ λέγει τὸν Λούκουλλον εἶναι, κατεγέλα, παίζειν αὐτοὺς οἰόμενον. Ὡς δ' ἑώρα σπουδάζοντας, ἐσήμηνε τῇ χειρὶ τὸν χάρακα τῶν Ῥωμαίων· οἱ δ' ἀνεθάρσησαν. Τῆς δὲ Δασκυλίτιδος λίμνης πλεομένης ἀκατίοις ἐπιεικῶς εὐμεγέθεσι, τὸ μέγιστον αὐτῶν ὁ Λούκουλλος ἀνελκύσας, καὶ διαγαγὼν ἁμάξῃ πρὸς τὴν θάλατταν, ὅσους ἐχώρει στρατιώτας ἐνεβίβασεν. Ἔλαθον δὲ νυκτὸς διαπεράσαντες, καὶ παρεισῆλθον εἰς τὴν πόλιν.

X. Ἔοικε δὲ καὶ τὸ θεῖον ἐπιθαῤῥῦναι τοὺς Κυζικηνούς, ἀγασθὲν αὐτῶν τὴν ἀνδραγαθίαν, ἄλλοις τε σημείοις ἐναργέσι, καὶ τῆς τῶν Φεῤῥεφαττίων ἑορτῆς ἐνεστώσης, οἱ μὲν ἠπόρουν βοὸς μελαίνης πρὸς τὴν θυσίαν, καὶ σταιτίνην πλάσαντες τῷ βωμῷ παρέστησαν. Ἡ δ' ἱερὰ καὶ τρεφομένη τῇ θεῷ νομὴν μὲν εἶχεν, ὥσπερ τἄλλα βοτὰ τῶν Κυζικηνῶν, ἐν τῇ περαίᾳ· κατ' ἐκείνην δε τὴν ἡμέραν ἀποκριθεῖσα τῆς ἀγέλης, μόνη διενήξατο πρὸς τὴν πόλιν, καὶ κατέστησεν ἐπὶ τὴν θυσίαν αὑτήν. Ὄναρ δ' ἡ θεὸς Ἀρισταγόρᾳ, τῷ τοῦ δήμου γραμματεῖ, παραστᾶσα· „Καὶ μὴν ἔγωγε (εἶπεν) ἥκω τὸν Λιβυκὸν αὐλητὴν ἐπὶ τὸν Ποντικὸν σαλπιγκτὴν ἐπάγουσα. Φράσον οὖν θαῤῥεῖν τοῖς πολίταις.“ Θαυμαζόντων

НБ ОНУ імені І.І. Мечникова

δὲ τὴν φωνὴν τῶν Κυζικηνῶν, ἅμ᾽ ἡμέρᾳ σάλον εἶχεν ἡ θάλασσα, κατιόντος ἀκρίτου πνεύματος· αἵ τε μηχαναὶ τοῦ βασιλέως, παρεστῶσαι τοῖς τείχεσιν, ἔργα θαυμαστὰ Νικωνίδου τοῦ Θεσσαλοῦ, ῥοίζῳ καὶ πατάγῳ πρῶτον ἀπεδήλουν τὸ μέλλον· εἶτα νότος ἐκραγεὶς ἄπιστος τὸ μέγεθος τά τ᾽ ἄλλα συνέτριψε μηχανήματα ὥρας βραχεῖ μορίῳ, καὶ τὸν ξύλινον πύργον, ἑκατὸν πηχῶν ὕψος ὄντα, διασείσας κατέβαλεν. Ἱστορεῖται δὲ, τῶν ἐν Ἰλίῳ πολλοῖς καθ᾽ ὕπνον ὀφθῆναι τὴν Ἀθηνᾶν ἱδρῶτι πολλῷ ῥεομένην, καὶ ὑποφαίνουσάν τι τοῦ πέπλου παρεῤῥωγὸς, λέγουσαν, ὡς ἀρτίως ἥκοι βοηθήσασα Κυζικηνοῖς. Καὶ στήλην τινὰ δόγματα καὶ γράμματα περὶ τούτων ἔχουσαν ἐδείκνυον Ἰλιεῖς.

XI. Μιθριδάτην δ᾽, ἄχρι μὲν ὑπὸ τῶν ἑαυτοῦ στρατηγῶν φενακιζόμενος ἠγνόει τὸν ἐν τῷ στρατοπέδῳ λιμὸν, ἠνίων Κυζικηνοὶ διαφεύγοντες τὴν πολιορκίαν. Ταχὺ δ᾽ ἐξεῤῥύη τὸ φιλότιμον αὐτοῦ καὶ φιλόνεικον, ἐν αἰσθήσει γενομένου τῶν ἀποριῶν, αἷς οἱ στρατιῶται συνείχοντο, καὶ τῶν ἀνθρωποφαγιῶν· ἅτε δὴ μὴ θεατρικῶς, μηδ᾽ ἐπιδεικτικῶς Λουκούλλου πολεμοῦντος, ἀλλὰ, τοῦτο δὴ τὸ λεγόμενον, εἰς τὴν γαστέρα ἐναλλομένου, καὶ ὅπως ὑφαιρήσῃ τὴν τροφὴν ἅπαντα πραγματευομένου. Διὸ καὶ φρούριόν τι πολιορκοῦντος αὐτοῦ, τῷ καιρῷ χρήσασθαι σπεύδων ὁ Μιθριδάτης, ἐξέπεμψεν εἰς Βιθυνίαν τοὺς μὲν ἱππεῖς σχεδὸν ἅπαντας μετὰ τῶν ὑποζυγίων, τῶν δὲ πεζῶν τοὺς ἀχρήστους. Πυθόμενος δ᾽ ὁ Λου-

κοιλλος, ἔτι νυκτὸς ἧκεν εἰς τὸ στρατόπεδον. Πρωὶ δε, χειμῶνος ὄντος, ἀναλαβὼν σπείρας δεκα, καὶ την ἵππον, ἐδίωκε νιφόμενος καὶ κακοπαθῶν, ὥστε πολλοὺς ὑπὸ κρύους ἐνδιδόντας ἀπολείπεσθαι τῶν στρατιωτῶν· τοῖς δ' ἄλλοις περὶ τὸν Ῥυνδακὸν ποταμὸν καταλαβὼν τοὺς πολεμίους, τοσαύτην τροπὴν ἐποίησεν, ὥστε τὰς γυναῖκας ἐκ τῆς Ἀπολλωνίας προερχομένας ἀφαρπάζειν τὰ φορτία, καὶ σκυλεύειν τοὺς φονευομένους. Πολλῶν δ', ὡς εἰκὸς, ἀποθανόντων, ἑάλωσαν ἵπποι μὲν ἑξακισχίλιοι, καὶ πλῆθος ἀναρίθμητον ὑποζυγίων, ἄνδρες δε μύριοι πεντακισχίλιοι· καὶ τούτους ἄγων πάντας παρεξῆει παρὰ τὸ στρατόπεδον τῶν πολεμίων. Σαλουστίου δε θαυμαζω, τότε πρῶτον ὦφθαι Ῥωμαίοις καμήλους λέγοντος, εἰ μήτε πρότερον τοὺς μετὰ Σκιπίωνος νικήσαντας Ἀντίοχον ᾤετο, μήτε τοὺς ἔναγχος πρὸς Ὀρχομενῷ καὶ περὶ Χαιρώνειαν Ἀρχελάῳ μεμαχημένους, ἐγνωκέναι κάμηλον. Ἀλλὰ τῷ γε Μιθριδάτῃ φεύγειν μὲν ἔγνωστο τὴν ταχίστην, ἀνθολκὰς δε Λουκούλλῳ καὶ διατριβὰς ὀπίσω μηχανώμενος, ἔστελλε τὸν ναύαρχον Ἀριστόνικον ἐπὶ τὴν Ἑλληνικὴν θάλασσαν, καὶ ὅσον οὔπω μέλλοντος ἐκπλεῖν, ἐκ προδοσίας ὁ Λούκουλλος ἐκυρίευσε μετὰ χρυσῶν μυρίων, οὓς ἐκόμιζε διαφθερῶν τι τοῦ Ῥωμαϊκοῦ στρατεύματος. Ἐκ τούτου Μιθριδάτης μὲν ἔφυγεν ἐπὶ θάλασσαν, οἱ δε στρατηγοὶ πεζοὶ τὸν στρατὸν ἀπήγαγον. Ἐπιπεσὼν δε Λούκουλλος αὐτοῖς περὶ τὸν Γρανικὸν ποταμὸν, εἷλε τε παμπόλλους, καὶ δισμυρίους ἀπε-

κτεινε. Λέγονται δ' ἐκ τοῦ παντὸς ἀκολούθων τε καὶ μαχίμων ὄχλου μυριάδες οὐ πολὺ δὴ τῶν τριάκοντα λείπουσαι διαφθαρῆναι.

XII. Λούκουλλος δὲ πρῶτον εἰς Κύζικον παρελθὼν, ἀπέλαυσεν ἡδονῆς καὶ φιλοφροσύνης πρεπούσης· ἔπειτα ναυτικὸν ἐξηρτύετο, τὸν Ἑλλήσποντον ἐπιπορευόμενος. Εἰς δὲ Τρῳάδα καταχθεὶς, ἐσκήνωσε μὲν ἐν τῷ ἱερῷ τῆς Ἀφροδίτης· κατακοιμηθεὶς δὲ, νύκτωρ ἐδόκει τὴν θεὰν ὁρᾶν ἐφεστῶσαν αὐτῷ, καὶ λέγουσαν·

Τί κνώσσεις, μεγάθυμε λέον; νεβροὶ δέ τοι ἐγγύς.

Ἐξαναστὰς δὲ καὶ τοὺς φίλους καλέσας, διηγεῖτο τὴν ὄψιν, ἔτι νυκτὸς οὔσης. Καὶ παρῆσαν ἐξ Ἰλίου τινὲς, ἀπαγγέλλοντες ὦφθαι περὶ τὸν Ἀχαιῶν λιμένα τρισκαίδεκα πεντήρεις τῶν βασιλικῶν ἐπὶ Λῆμνον πλεούσας. Εὐθὺς οὖν ἀναχθεὶς, τούτους μὲν εἷλε, καὶ τὸν στρατηγὸν αὐτῶν Ἰσίδωρον ἀπέκτεινεν· ἐπὶ δὲ τοὺς ἄλλους ἔπλει πρωρέας. Οἱ δὲ ἔτυχον ὁρμοῦντες, καὶ τὰ πλοῖα πάντα πρὸς τὴν γῆν συνέλκοντες ἀπὸ τῶν καταστρωμάτων διεμάχοντο, καὶ πληγὰς ἐδίδοσαν τοῖς περὶ τὸν Λούκουλλον, οὔτε περιπλεῦσαι τοῦ χωρίου διδόντος, οὔτε βιάσασθαι ναυσὶ μετεώροις τὰς τῶν πολεμίων, προσερηρεισμένας τῇ γῇ, καὶ βεβηκυίας ἀσφαλῶς. Οὐ μὴν ἀλλὰ μόλις, ᾗ προσβολήν τινα ἡ νῆσος εἶχεν, ἀποβιβάζει τῶν στρατιωτῶν τοὺς ἀρίστους, οἳ κατόπιν ἐπιπεσόντες τοῖς πολεμίοις, τοὺς μὲν διέφθειρον αὐτῶν, τοὺς δ' ἠνάγκαζον ἀποκόπτοντας τὰ πρυμνήσια τῶν

νεῶν, καὶ φεύγοντας ἐκ τῆς γῆς, ἀλλήλοις τε συγκρούειν τὰ πλοῖα, καὶ ταῖς ἐμβολαῖς ταῖς περὶ τὸν Λούκουλλον ὑποπίπτειν. Πολλοὶ μὲν οὖν διεφθάρησαν· ἐν δὲ τοῖς ἁλοῦσιν ἀνήχθη καὶ Μάριος, ὁ παρὰ Σερτωρίου στρατηγός. Ἦν γὰρ ἑτερόφθαλμος· καὶ παρήγγελτο τοῖς στρατιώταις εὐθὺς ἐπιπλέουσιν ὑπὸ Λουκούλλου, μηδένα κτείνειν ἑτερόφθαλμον, ὅπως ἐξονειδισθεὶς καὶ καθυβρισθεὶς ἀποθάνοι.

XIII. Γενόμενος δ' ἀπὸ τούτων, ἠπείγετο πρὸς τὴν αὐτοῦ Μιθριδάτου δίωξιν. Ἤλπιζε γὰρ ἔτι περὶ Βιθυνίαν εὑρήσειν αὐτὸν ὑπὸ Βοκωνίου φρουρούμενον, ὃν αὐτὸς ἐνστησόμενον τῇ φυγῇ μετὰ νεῶν ἀπεστάλκει πρὸς Νικομήδειαν. Ἀλλὰ Βοκώνιος μὲν ἐν Σαμοθρᾴκῃ μυούμενος καὶ πανηγυρίζων καθυστέρησε. Μιθριδάτην δ' ἀναχθέντα μετὰ τοῦ στόλου, σπεύδοντα, πρὶν ἐπιστρέφειν Λούκουλλον, εἰς τὸν Πόντον εἰσπλεῦσαι, καταλαμβάνει χειμὼν πολύς, ὑφ' οὗ τὰ μὲν ἀφηρπάγη, τὰ δ' ἐβυθίσθη τῶν σκαφῶν. Πᾶσα δ' ἡ παραλία τῶν ναυαγίων ἐκφερομένων ὑπὸ τοῦ κλύδωνος ἐπὶ πολλὰς ἡμέρας ἦν περίπλεως. Αὐτὸς δὲ, τῆς ὁλκάδος, ἐφ' ἧς ἔπλει, μήτε πρὸς τὴν γῆν εὐπαρακομίστου διὰ μέγεθος ἐν σάλῳ μεγάλῳ καὶ κύματι τυφλῷ παρισταμένης τοῖς κυβερνήταις, πρός τε τὴν θάλασσαν ἤδη βαρείας καὶ ὑπεράντλου γενομένης, μετεμβὰς εἰς λῃστρικὸν μυοπάρωνα, καὶ τὸ σῶμα πειραταῖς ἐγχειρίσας, ἀνελπίστως καὶ παραβόλως εἰς τὴν Ποντικὴν Ἡράκλειαν

ἐξεσώθη. Λουκούλλῳ δ' ἀνεμέσητος ἡ πρὸς τὴν σύγκλητον ἀπέβη φιλοτιμία." Ψηφιζομένης γὰρ αὐτῆς πρὸς τὸν πόλεμον ἀπὸ τρισχιλίων ταλάντων ἐξαρτύεσθαι ναυτικὸν, ἐκώλυσε πέμψας γράμματα, καὶ μεγαληγορήσας, ὡς ἄνευ δαπάνης καὶ τοσαύτης παρασκευῆς ταῖς τῶν συμμάχων ναυσὶ Μιθριδάτην ἐκβαλεῖ τῆς θαλάττης. Καὶ τοῦτο ὑπῆρξεν αὐτῷ, τοῦ θεοῦ συναγωνισαμένου. Λέγεται γὰρ Ἀρτέμιδος χόλῳ Πριαπίνης ὁ χειμὼν ἐμπεσεῖν τοῖς Ποντικοῖς, συλήσασιν αὐτῆς τὸ ἱερὸν καὶ τὸ ξόανον ἀνασπάσασι.

XIV. Πολλῶν δὲ Λουκούλλῳ παραινούντων ἀναβαλέσθαι τὸν πόλεμον, οὐ φροντίσας ἐνέβαλε διὰ Βιθυνίας καὶ Γαλατίας εἰς τὴν βασιλικὴν, ἐν ἀρχῇ μὲν ἐνδεὴς τῶν ἀναγκαίων, ὥστε Γαλάτας ἕπεσθαι τρισμυρίους, ἕκαστον ἐπὶ τῶν ὤμων κομίζοντα σίτου μέδιμνον. Προϊὼν δὲ καὶ κρατῶν ἁπάντων εἰς τοσαύτην ἦλθεν εὐπορίαν, ὥστε τὸν μὲν βοῦν ἐν στρατοπέδῳ δραχμῆς, τὸ δ' ἀνδράποδον τεττάρων ὤνιον εἶναι· τὴν δ' ἄλλην λείαν ἐν οὐδενὶ λόγῳ τοὺς μὲν ἀπολείπειν, τοὺς δ' ἀναλίσκειν. Διάθεσις γὰρ ἦν οὐδενὸς πρὸς οὐδένα, πάντων εὐπορούντων. Ἀλλ' ὅσον φθεῖραι καὶ κακῶσαι τὴν χώραν, ἱππασάμενοι καὶ καταδραμόντες ἄχρι Θεμισκύρας καὶ τῶν περὶ Θερμώδοντα πεδίων, ᾐτιῶντο τὸν Λούκουλλον, ὅτι πάσας προσάγεται τὰς πόλεις, κατὰ κράτος δ' οὐδεμίαν ᾕρηκεν, οὐδὲ παρέσχηκεν αὐτοῖς ὠφεληθῆναι διαρπάσασιν. „Ἀλλὰ καὶ νῦν (ἔφασαν) Ἀμισὸν, πόλιν εὐδαίμονα καὶ πλουσίαν, οὐ μέγα ὂν ἔργον, εἴ τις

НБ ОНУ імені І. І. Мечникова

ἐντεῖναι τὴν πολιορκίαν, κατασχεῖν, ἀπολιπόντας ἡμᾶς, ἄγει πρὸς τὴν Τιβαρηνῶν καὶ Χαλδαίων ἐρημίαν, Μιθριδάτῃ πολεμήσοντας.“ Ἀλλὰ ταῦτα μὲν, οὐκ ἂν ὁ Λούκουλλος ἐλπίσας εἰς τοσοῦτον ἀπονοίας τοὺς στρατιώτας παραγαγεῖν, ὅσον ὕστερον ἐξέφηναν, ὑπερεώρα, καὶ οὐκ ἐφρόντιζεν. Ἐκείνοις δ᾽ ἀπελογεῖτο μᾶλλον, οἳ βραδύτητα κατηγόρουν αὐτοῦ, διατρίβοντος ἐνταῦθα περὶ κώμας καὶ πόλεις οὐ πολλοῦ τινος ἀξίας πολὺν χρόνον, ἐῶντος δ᾽ αὔξεσθαι Μιθριδάτην. „Αὐτὸ γὰρ (ἔφη) τοῦτο καὶ βούλομαι καὶ κάθημαι τεχνάζων μέγαν αὖθις γενέσθαι τὸν ἄνδρα, καὶ συναγαγεῖν αὐτὸν ἀξιόμαχον δύναμιν, ἵνα μείνῃ καὶ μὴ φύγῃ προσιόντας ἡμᾶς. Ἢ οὐχ ὁρᾶτε πολλὴν μὲν αὐτῷ καὶ ἀτέκμαρτον ἐρημίαν ὀπίσω παροῦσαν; ἐγγὺς δὲ ὁ Καύκασος, καὶ ὄρη πολλὰ καὶ βαθέα καὶ μυρίους βασιλεῖς φυγομαχοῦντας ἀρκοῦντα κατακρύψαι καὶ περισχεῖν. Ὀλίγων δ᾽ ἡμερῶν ὁδὸς εἰς Ἀρμενίαν ἐκ Καβείρων· καὶ ὑπὲρ Ἀρμενίας κάθηται Τιγράνης, βασιλεὺς βασιλέων, ἔχων δύναμιν, ᾗ Πάρθους τε περικόπτει τῆς Ἀσίας, καὶ πόλεις Ἑλληνίδας εἰς Μηδίαν ἀνακομίζει, καὶ Συρίας κρατεῖ καὶ Παλαιστίνης, καὶ τοὺς ἀπὸ Σελεύκου βασιλεῖς ἀποκτιννύει, θυγατέρας δ᾽ αὐτῶν ἄγει καὶ γυναῖκας ἀνασπάστους. Οὗτος οἰκεῖός ἐστι Μιθριδάτου καὶ γαμβρός. Οὐ περιόψεται δὴ αὐτὸν ἱκέτην ὑποδεξάμενος, ἀλλὰ πολεμήσει πρὸς ἡμᾶς· καὶ σπεύδοντες ἐκβάλλειν Μιθριδάτην, κινδυνεύσομεν ἐπισπάσασθαι Τιγράνην, πάλαι μὲν αἰτίας δεό-

НБ ОНУ імені І.І. Мечникова

μενον ἐφ' ἡμᾶς, εὐπρεπεστέραν δ' οὐκ ἂν λαβόντα τῆς ὑπὲρ ἀνδρὸς οἰκείου καὶ βασιλέως ἀναγκασθέντος ὑπουργεῖν αὐτῷ. Τί οὖν δεῖ τοῦθ' ἡμᾶς ἐξεργάσασθαι, καὶ διδάξαι Μιθριδάτην ἀγνοοῦντα, μεθ' ὧν ἐστιν αὐτῷ πρὸς ἡμᾶς πολεμητέον; καὶ μὴ βουλόμενον, ἀλλ' ἀδοξοῦντα, συνελαύνειν ἐπὶ τὰς τοῦ Τιγράνου χεῖρας; ἀλλ' οὐχὶ δόντας αὐτῷ χρόνον ἐκ τῶν οἰκείων παρασκευάσασθαι καὶ ἀναθαῤῥῦναι, Κόλχοις καὶ Τιβαρηνοῖς καὶ Καππάδοξιν, ὧν πολλάκις κεκρατήκαμεν, μάχεσθαι μᾶλλον, ἢ Μήδοις καὶ Ἀρμενίοις;"

XV. Ἐπὶ τοιούτων λογισμῶν γενόμενος ὁ Λούκουλλος, περί τε τὴν Ἀμισὸν διέτριψε, μαλακῶς τῇ πολιορκίᾳ χρώμενος· καὶ μετὰ χειμῶνα Μουρήναν ἀπολιπὼν ἐπὶ τῆς πολιορκίας, ἐβάδιζεν ἐπὶ Μιθριδάτην, καθήμενον ἐν Καβείροις, καὶ διανοούμενον ὑφίστασθαι τοὺς Ῥωμαίους, ἠθροισμένης αὐτῷ δυνάμεως εἰς τετρακισμυρίους πεζοὺς, ἱππεῖς δὲ τετρακισχιλίους, οἷς ἐθάῤῥει μάλιστα. Καὶ διαβὰς τὸν Λύκον ποταμὸν, εἰς τὸ πεδίον προὐκαλεῖτο τοὺς Ῥωμαίους. Γενομένης δ' ἱππομαχίας, ἔφυγον οἱ Ῥωμαῖοι· Πομπώνιος δ', ἀνὴρ οὐκ ἄδοξος, ἑάλω τετρωμένος, καὶ πρὸς τὸν Μιθριδάτην ἀνήχθη κακῶς ὑπὸ τραυμάτων διακείμενος. Πυθομένου δὲ τοῦ βασιλέως, εἰ σωθεὶς ὑπ' αὐτοῦ γενήσεται φίλος· „Ἄν γε δὴ (ἔφη) Ῥωμαίοις διαλλαγῇς· εἰ δὲ μὴ, πολέμιος." Τοῦτον μὲν θαυμάσας ὁ Μιθριδάτης οὐκ ἠδίκησε. Τοῦ δὲ Λουκούλλου τὰ μὲν πεδία, τῶν πολεμίων ἱπποκρατούντων, δεδιότος, τὴν δ' ὀρεινὴν

НБ ОНУ імені І.І. Мечникова

ὀκνοῦντος προϊέναι, μακρὰν καὶ ὑλώδη καὶ δύσβατον οὖσαν, ἁλίσκονταί τινες κατὰ τύχην Ἕλληνες, εἴς τι σπήλαιον καταφυγόντες· ὧν ὁ πρεσβύτερος, Ἀρτεμίδωρος, ὑπέσχετο τὸν Λούκουλλον ἄξειν καὶ καταστήσειν ἐπὶ τόπῳ ἀσφαλεῖ τῷ στρατοπέδῳ, καὶ φρούριον ἔχοντι τοῖς Καβείροις ἐπικρεμάμενον. Πιστεύσας δ᾽ ὁ Λούκουλλος, ἅμα τῇ νυκτὶ πυρὰ καύσας ἐκίνει· καὶ τὰ στενὰ παρελθὼν ἀσφαλῶς, τὸ χωρίον εἶχε, καὶ μεθ᾽ ἡμέραν ὑπερεφαίνετο τῶν πολεμίων, ἱδρύων τὸν στρατὸν ἐν τόποις, οἳ μάχεσθαι βουλομένῳ προσαγωγὴν ἐδίδοσαν, καὶ τὸ μὴ βιασθῆναι παρεῖχον ἡσυχάζοντι. Γνώμην μὲν οὖν οὐδέτερος εἶχεν ἔν γε τῷ παρόντι διακινδυνεύειν· ἔλαφον δὲ λέγεται τῶν βασιλικῶν διωκόντων, ὑποτεμνομένους ἀπαντῆσαι τοὺς Ῥωμαίους· ἐκ δὲ τούτου συμπεσόντας ἀγωνίζεσθαι, πλειόνων ἑκατέροις ἀεὶ προσγινομένων. Τέλος δ᾽ ἐνίκων οἱ βασιλικοί· καὶ τὴν φυγὴν ἐκ τοῦ χάρακος οἱ Ῥωμαῖοι καθορῶντες, ἠσχάλλον, καὶ συνέτρεχον πρὸς τὸν Λούκουλλον, ἄγειν σφᾶς δεόμενοι, καὶ σύνθημα πρὸς τὴν μάχην αἰτοῦντες. Ὁ δὲ, βουλόμενος αὐτοὺς μαθεῖν, ἡλίκον ἐστὶν ἐν ἀγῶνι πολέμου καὶ κινδύνου παρουσία καὶ ὄψις ἡγεμόνος ἔμφρονος, ἐκείνους μὲν ἡσυχίαν ἄγειν ἐκέλευεν, αὐτὸς δὲ κατέβαινεν εἰς τὸ πεδίον, καὶ τοῖς προτέροις ἀπαντήσας τῶν φευγόντων, ἵστασθαι προσέταξεν καὶ ἀναστρέφειν μετ᾽ αὐτοῦ. Πεισθέντων δὲ τούτων, καὶ οἱ λοιποὶ μεταβαλόμενοι καὶ συστάντες, ὀλίγῳ πόνῳ τρέπονται τοὺς πολεμ-

ους, καὶ καταδιώκουσιν εἰς τὸ στρατόπεδον. Ἐπανελθὼν δὲ Λούκουλλος ἀτιμίαν τινὰ τοῖς φεύγουσι νενομισμένην προσέβαλε, κελεύσας ἐν χιτῶσιν ἀζώστοις ὀρύξαι δώδεκα ποδῶν τάφρον, ἐφεστώτων καὶ θεωμένων τῶν ἄλλων στρατιωτῶν.

XVI. Ἦν δέ τις ἐν τῷ Μιθριδάτου στρατοπέδῳ Δανδαρίων δυνάστης, Ὀλθακὸς, (γένος δ' εἰσὶν οἱ Δανδάριοι βαρβάρων, τῶν περὶ τὴν Μαιῶτιν οἰκούντων) ἀνὴρ, ὅσα χειρὸς ἔργα καὶ τόλμης ἐν πολέμῳ, διαπρεπὴς ἅπαντα, καὶ γνώμην ἱκανὸς ἐν τοῖς μεγίστοις, ἔτι δ' ἐμμελὴς ὁμιλῆσαι καὶ θεραπευτικός. Οὗτος ἔχων ἀεὶ πρός τινα τῶν ὁμοφύλων δυναστῶν ἅμιλλαν ὑπὲρ πρωτείων καὶ ζηλοτυπίαν, ὑπέσχετο τῷ Μιθριδάτῃ μέγα ἔργον, ἀποκτενεῖν Λούκουλλον. Ἐπαινέσαντος δὲ τοῦ βασιλέως, καί τινας αὐτῷ προσβαλόντος ἐπίτηδες ἀτιμίας εἰς προσποίησιν ὀργῆς, ἀφιππάσατο πρὸς Λούκουλλον· ὁ δ' ἄσμενος ἐδέξατο. Λόγος γὰρ ἦν αὐτοῦ πολὺς ἐν τῷ στρατοπέδῳ· καὶ ταχὺ πειρώμενος, ἠσπάζετο τὴν τ' ἀγχίνοιαν αὐτοῦ καὶ τὸ λιπαρὲς, ὥστε τραπέζης καὶ συνεδρίου ποτὲ ποιεῖσθαι κοινωνόν. Ἐπεὶ δ' ἐδόκει καιρὸν ἔχειν ὁ Δανδάριος, τὸν μὲν ἵππον ἔξω τοῦ χάρακος ἐκέλευσε προαγαγεῖν τοὺς παῖδας, αὐτὸς δὲ, μεσημβρίας οὔσης, καὶ τῶν στρατιωτῶν ἐνδιαζόντων καὶ ἀναπαυομένων, ἐβάδιζεν ἐπὶ τὴν στρατηγικὴν σκηνὴν, ὡς οὐδενὸς κωλύσοντος εἰσελθεῖν ἄνδρα συνήθη, καὶ λόγους τινὰς ἀξίους σπουδῆς τῷ στρατηγῷ κομίζειν φάσκοντα. Κἂν εἰσῆλθεν ἀδεῶς, εἰ μὴ

НБ ОНУ імені І.І. Мечникова

ὁ πολλοὺς ἀνῃρηκὼς στρατηγοὺς ὕπνος Λούκουλλον ἔσωσεν. Ἐτύγχανε γὰρ καθεύδων· καὶ Μενέδημος, εἷς τῶν κατευναστῶν, παρὰ ταῖς θύραις ἑστὼς, οὐκ ἔφη κατὰ καιρὸν ἥκειν τὸν Ὀλθακὸν, ἄρτι Λουκούλλου πρὸς ἀνάπαυσιν ἐκ μακρᾶς ἀγρυπνίας καὶ πόνων τοσούτων δεδωκότος ἑαυτόν. Ἐπεὶ δ' οὐκ ἀπῄει κελεύοντος, ἀλλ' ἔφη κωλύοντος εἰσελεύσεσθαι, περὶ πράγματος ἀναγκαίου καὶ μεγάλου διαλεχθῆναι βουλόμενος, ἤδη πρὸς ὀργὴν ὁ Μενέδημος, εἰπὼν, μηδὲν ἀναγκαιότερον τοῦ σώζεσθαι Λούκουλλον, ἀπεώσατο τὸν ἄνθρωπον ἀμφοτέραις ταῖς χερσίν. Ὁ δὲ δείσας ὑπεξῆλθε τοῦ χάρακος, καὶ λαβὼν τὸν ἵππον, ἀπήλασεν εἰς τὸ Μιθριδάτου στρατόπεδον ἄπρακτος. Οὕτως ἄρα καὶ τοῖς πράγμασιν ὁ καιρὸς, ὥσπερ τοῖς φαρμάκοις, καὶ τὴν σώζουσαν καὶ τὴν ἀναιροῦσαν ῥοπὴν προστίθησιν.

XVII. Ἐκ τούτου Σωρνάτιος μὲν ἐπὶ σίτου κομιδὴν ἐπέμφθη μετὰ δέκα σπειρῶν, καὶ καταδιωχθεὶς ὑπὸ Μενάνδρου, τῶν Μιθριδάτου στρατηγῶν ἑνὸς, ἀντέστη, καὶ συμβαλὼν φόνον ἐποίησε πολὺν καὶ τροπὴν τῶν πολεμίων. Αὖθις δὲ πεμφθέντος Ἀδριανοῦ μετὰ δυνάμεως, ὅπως ἐκ περιουσίας ἔχωσιν οἱ στρατιῶται σῖτον, οὐ περιεῖδε Μιθριδάτης, ἀλλ' ἀπέστειλε Μενέμαχον καὶ Μύρωνα, πολλῶν μὲν ἱππέων, πολλῶν δὲ πεζῶν ἡγουμένους. Οὗτοι πάντες, ὡς λέγεται, πλὴν δυοῖν, κατεκόπησαν ὑπὸ τῶν Ῥωμαίων. Καὶ Μιθριδάτης μὲν ἔκρυπτε τὴν συμφορὰν, ὡς οὐ τοσαύτην οὖσαν, ἀλλὰ μικρὰν, προσκεκρου-

НБОНУ імені І.І. Мечникова

κότων ἀπειρίᾳ τῶν στρατηγῶν. Ἀδριανὸς δὲ λαμπρὸς παρημείβετο τὸ στρατόπεδον, πολλὰς κατάγων ἁμάξας σίτου καὶ λαφύρων γεμούσας· ὥστε δυσθυμίαν μὲν αὐτῷ, ταραχὴν δὲ καὶ φόβον ἀμήχανον ἐμπεσεῖν τοῖς στρατιώταις. Ἐδέδοκτο μὲν οὖν μηκέτι μένειν· ἐπεὶ δὲ προεξέπεμπον οἱ βασιλικοὶ τὰ σφέτερα χρήματα καθ᾽ ἡσυχίαν, τοὺς δ᾽ ἄλλους ἐκώλυον, ἤδη καὶ πρὸς ὀργὴν ἐπὶ τὰς ἐξόδους ὠθούμενοι καὶ βιαζόμενοι, τὰ μὲν χρήματα ἥρπαζον, αὐτοὺς δ᾽ ἀπέσφαττον. Ὅπου καὶ Δορύλαος στρατηγός, οὐδὲν ἕτερον ἔχων ἢ τὴν πορφύραν περὶ αὐτόν, ἀπώλετο διὰ ταύτην· Ἑρμαῖος δέ, ὁ θύτης, κατεπατήθη περὶ τὰς πύλας. Αὐτὸς δ᾽ ὁ Μιθριδάτης, οὔτε ὀπαδοῦ τινος, οὔτε ἱπποκόμου παραμείναντος αὐτῷ, συνεξέπεσεν ἀπὸ τοῦ στρατοπέδου τοῖς πολλοῖς ἀναμεμιγμένος, οὐδ᾽ ἵππου τῶν βασιλικῶν εὐπορήσας· ἀλλ᾽ ὀψέ που κατιδὼν αὐτὸν ἐν τῷ ῥεύματι τῆς τροπῆς ἐκείνης διαφερόμενον Πτολεμαῖος ὁ εὐνοῦχος, ἵππον ἔχων, αὐτὸς ἀπεπήδησε καὶ παρέσχεν. Ἤδη γὰρ αὐτὸν οἱ Ῥωμαῖοι κατεῖχον ἐπικείμενοι, καὶ τάχει μὲν οὐκ ἀπελίποντο τοῦ λαβεῖν αὐτόν, ἀλλ᾽ ἦλθον ἔγγιστα τούτου· φιλοπλουτία δὲ καὶ μικρολογία στρατιωτικὴ τὸ πολλοῖς ἀγῶσι καὶ μεγάλοις κινδύνοις διωκόμενον ἐκ μακροῦ θήραμα Ῥωμαίους ἀφείλετο, καὶ Λούκουλλον ἀπεστέρησε νικῶντα τῶν ἐπάθλων. Ἦν μὲν γὰρ ἐν ἐφικτῷ τῆς διώξεως ὁ ὑπεκφέρων τὸν ἄνδρα ἵππος· ἡμιόνου δὲ τῶν τὸ χρυσίον κομιζόντων μεταξὺ τοῦ βασιλέως, εἴτ᾽ ἀπὸ

НБ ОНУ імені І.І. Мечникова

ταὐτομάτου παρεισπεσόντος, εἴτε τοῦ βασιλέως ἐπιτηδες ἐμβαλόντος αὐτὸν εἰς τοὺς διώκοντας, ἁρπάζοντες καὶ συλλέγοντες τὸ χρυσίον, καὶ διαμαχόμενοι πρὸς ἀλλήλους, καθυστέρησαν. Καὶ οὐ τοῦτο μόνον αὐτῶν ἀπέλαυσε τῆς πλεονεξίας ὁ Λούκουλλος, ἀλλὰ καὶ τὸν ἐπὶ τῶν ἀποῤῥήτων τοῦ βασιλέως ὄντα Καλλίστρατον ὁ μὲν ἄγειν ἐκέλευσεν, οἱ δ' ἄγοντες, αἰσθόμενοι πεντακοσίους χρυσοῦς ὑπεζωσμένον, ἀπέκτειναν. Οὐ μὴν ἀλλὰ τούτοις μὲν ἐπέτρεψε τὸν χάρακα πορθῆσαι.

XVIII. Τὰ δὲ Κάβειρα λαβὼν, καὶ τῶν ἄλλων φρουρίων τὰ πλεῖστα, θησαυροὺς τε μεγάλους εὗρε, καὶ δεσμωτήρια, πολλῶν μὲν Ἑλλήνων, πολλῶν δὲ συγγενῶν τοῦ βασιλέως καθειργμένων, οἷς πάλαι τεθνάναι δοκοῦσιν οὐ σωτηρίαν, ἀλλ' ἀναβίωσιν καὶ δευτέραν τινὰ γέννησιν ἡ Λουκούλλου χάρις παρέσχεν. Ἑάλω δὲ καὶ ἀδελφὴ τοῦ Μιθριδάτου, Νύσσα, σωτήριον ἅλωσιν· αἱ δ' ἀπωτάτω τοῦ κινδύνου καὶ καθ' ἡσυχίαν ἀποκεῖσθαι δοκοῦσαι περὶ Φαρνακίαν ἀδελφαὶ καὶ γυναῖκες οἰκτρῶς ἀπώλοντο, Μιθριδάτου πέμψαντος ἐπ' αὐτὰς ἐκ τῆς φυγῆς Βακχίδην εὐνοῦχον. Ἦσαν δὲ μετὰ πολλῶν ἀδελφαί τε δύο τοῦ βασιλέως, Ῥωξάνη καὶ Στάτειρα, περὶ τεσσαράκοντα ἔτη παρθενευόμεναι· καὶ γαμεταὶ δύο, γένος Ἰωνίδες, Βερενίκη μὲν ἐκ Χίου, Μονίμη δὲ, Μιλησία. Ταύτης ὁ πλεῖστος ἦν λόγος ἐν τοῖς Ἕλλησιν, ὅτι, τοῦ βασιλέως πειρῶντος αὐτὴν, καὶ μυρίους πεντακισχιλίους χρυσοῦς προσπέμψαντος, ἀντέσχε, μέχρις οὗ γάμων ἐγέ-

νοντο συνθῆκαι, καὶ διάδημα πέμψας αὐτῇ, βασίλισσαν ἀνηγόρευσεν. Αὕτη καὶ παρὰ τὸν ἄλλον χρόνον ἀνιαρῶς εἶχε, καὶ ἀπεθρήνει τὴν τοῦ σώματος εὐμορφίαν, ὡς δεσπότην μὲν ἀντ' ἀνδρὸς αὐτῇ, φρουρὰν δὲ βαρβάρων ἀντὶ γάμου καὶ οἴκου προξενήσασαν· πόῤῥω δέ που τῆς Ἑλλάδος ἀπῳκισμένη, τοῖς ἐλπισθεῖσιν ἀγαθοῖς ὄναρ σύνεστι, τῶν δ' ἀληθινῶν ἐκείνων ἀπεστέρηται. Καὶ δὴ τοῦ Βακχίδου παραγενομένου, καὶ προστάξαντος αὐταῖς ἀποθνήσκειν, ὡς ἑκάστῃ δοκοίη ῥᾷστον εἶναι καὶ ἀλυπότατον, περισπάσασα τῆς κεφαλῆς τὸ διάδημα, τῷ τραχήλῳ περιῆψε, καὶ ἀνήρτησεν ἑαυτήν. Ταχὺ δ' ἀποῤῥαγέντος· „Ὦ κατηραμένον (ἔφη) ῥάκος· οὐδὲ πρὸς τοῦτό μοι χρήσιμον ἔσῃ;" Κἀκεῖνο μὲν ἀπέῤῥιψε προσπτύσασα, τῷ δὲ Βακχίδῃ τὴν σφαγὴν παρέσχεν. Ἡ δὲ Βερενίκη, κύλικα φαρμάκου λαβοῦσα, τῆς μητρὸς αὐτῇ παρούσης καὶ δεομένης, μετέδωκε. Καὶ συνεξέπιον μὲν ἀμφότεραι. Ἤρκεσε δὲ ἡ τοῦ φαρμάκου δύναμις εἰς τὸ ἀσθενέστερον σῶμα· τὴν δὲ Βερενίκην, οὐχ, ὅσον ἔδει, πιοῦσαν, οὐκ ἀπήλλαξεν, ἀλλὰ δυσθανατοῦσα, τοῦ Βακχίδου σπεύδοντος, ἀπεπνίγη. Λέγεται δὲ καὶ τῶν ἀγάμων ἀδελφῶν ἐκείνων, τὴν μὲν, ἐπαρωμένην πολλὰ καὶ λοιδοροῦσαν ἐκπιεῖν τὸ φάρμακον· τὴν δὲ Στάτειραν, οὔτε δύσφημόν τι φθεγξαμένην, οὔτ' ἀγεννὲς, ἀλλ' ἐπαινοῦσαν τὸν ἀδελφὸν, ὅτι περὶ τοῦ σώματος κινδυνεύων, οὐκ ἠμέλησεν αὐτῶν, ἀλλὰ προὐνόησεν ἐλευθέρας καὶ ἀνυβρίστους ἀποθανεῖν. Ταῦτα μὲν οὖν φύσει χρηστὸν ὄντα καὶ φιλάνθρωπον ἠνία τὸν Λούκουλλον.

XIX. Ἐλάσας δ' ἄχρι Ταλαύρων, ἔνθεν ἡμέρᾳ τετάρτῃ πρότερον ἐφθάκει Μιθριδάτης εἰς Ἀρμενίαν πρὸς Τιγράνην πεφευγὼς, ἀποτρέπεται. Καταστρεψάμενος δὲ Χαλδαίους καὶ Τιβαρηνοὺς, καὶ τὴν μικρὰν Ἀρμενίαν παραλαβὼν, καὶ φρούρια καὶ πόλεις παραστησάμενος, Ἄππιον μὲν ἔπεμψε πρὸς Τιγράνην, ἐξαιτῶν Μιθριδάτην· αὐτὸς δ' ἧκε πρὸς Ἀμισὸν ἔτι πολιορκουμένην. Αἴτιος δ' ἦν Καλλίμαχος ὁ στρατηγὸς, ἐμπειρίᾳ μηχανικῆς παρασκευῆς, καὶ δεινότητι πανουργίας, ὅσην πολιορκία δέχεται, πλεῖστα λυπήσας Ῥωμαίους· ὧν ὕστερον ἔδωκε δίκην. Τότε δ' ὑπὸ Λουκούλλου καταστρατηγηθεὶς, ὑφ' ἣν ἔθος εἶχεν ὥραν τῆς ἡμέρας ἀπάγειν καὶ ἀναπαύειν τοὺς στρατιώτας, ἐν ἐκείνῃ προσβαλόντος αἰφνιδίως, καὶ κατασχόντος οὐ πολὺ μέρος τοῦ τείχους, αὐτὸς ἐκλιπὼν τὴν πόλιν ὑφῆψεν· εἴτε φθονῶν ὠφεληθῆναι Ῥωμαίους, εἴτε ῥᾳστώνην φυγῆς ἑαυτῷ μηχανώμενος. Οὐδεὶς γὰρ ἐφρόντιζε τῶν ἐκπλεόντων, ἀλλὰ ταχέως ἡ φλὸξ ἀναδραμοῦσα πολλὴ τὰ τείχη περιέσχε· καὶ οἱ μὲν στρατιῶται παρεσκευάζοντο πρὸς ἁρπαγὴν, ὁ δὲ Λούκουλλος, οἰκτείρων ἀπολλυμένην τὴν πόλιν, ἔξωθεν ἐβοήθει πρὸς τὸ πῦρ, καὶ σβεννύναι παρεκάλει, μηδενὸς αὐτῷ προσέχοντος, ἀλλ' ἐξαιρουμένων τὰ χρήματα, καὶ μετὰ βοῆς ὅπλα κρουόντων, ἕως ἐκβιασθεὶς ἐπέτρεψεν, ὡς αὐτήν γε τὴν πόλιν ἐξαιρησόμενος τοῦ πυρός. Οἱ δὲ τοὐναντίον ἔπραξαν. Πάντα γὰρ ἐξερευνῶντες ὑπὸ λαμπάδων, καὶ πανταχοῦ φῶς ἐπιφέροντες, αὐτοὶ τὰ πλεῖστα τῶν οἰκημά-

των καθεῖλον· ὥστε τὸν Λούκουλλον, εἰσελθόντα μεθ᾽ ἡμέραν καὶ δακρύσαντα, πρὸς τοὺς φίλους εἰπεῖν, ὡς πολλάκις ἤδη Σύλλαν μακαρίσας, μάλιστα τῇ σήμερον ἡμέρᾳ τὴν τἀνδρὸς εὐτυχίαν θαυμάσειεν, ὅτι σῶσαι βουληθεὶς ἐδυνήθη τὰς Ἀθήνας. „Ἐμὲ δ᾽ (ἔφη), τούτου ζηλωτὴν γενόμενον, εἰς τὴν Μομμίου δόξαν ὁ δαίμων περιέστησεν.“ Οὐ μὴν ἀλλ᾽ ἐκ τῶν παρόντων ἀναλαμβάνειν ἐπειρᾶτο τὴν πόλιν. Καὶ τὸ μὲν πῦρ ὄμβροι κατέσβεσαν ἐκ τινος θείας τύχης περὶ τὴν ἅλωσιν αὐτὴν συμπεσόντες. Τὰ δὲ πλεῖστα τῶν ἀπολωλότων αὐτὸς ἔτι παρὼν ἀνῳκοδόμησε, καὶ τοὺς φεύγοντας Ἀμισηνῶν ἐδέξατο, καὶ τῶν ἄλλων Ἑλλήνων κατῴκισε τοὺς βουλομένους, εἴκοσι καὶ ἑκατὸν σταδίων χώραν προσορίσας. Ἦν δ᾽ ἡ πόλις Ἀθηναίων ἄποικος, ἐν ἐκείνοις ἄρα τοῖς καιροῖς, ἐν οἷς ἤκμαζεν ἡ δύναμις αὐτῶν, καὶ κατεῖχε τὴν θάλασσαν, οἰκισθεῖσα. Καὶ διὰ τοῦτο πολλοὶ τῶν τὴν Ἀριστίωνος τυραννίδα βουλομένων φεύγειν, εἰσπλεύσαντες αὐτοῦ κατῴκουν, καὶ μετεῖχον τῆς πολιτείας, οἷς συνέβη τὰ οἰκεῖα διαφεύγουσιν ἀπολαῦσαι τῶν ἀλλοτρίων. Ἀλλὰ τούς γε σωθέντας αὐτῶν ὁ Λούκουλλος ἀμφιέσας καλῶς, καὶ διακοσίας ἑκάστῳ δραχμὰς ἐπιδοὺς ἀπέστειλε. Τότε καὶ Τυραννίων ὁ γραμματικὸς ἑάλω. Μουρήνας δ᾽ αὐτὸν ἐξῃτήσατο, καὶ λαβὼν ἀπηλευθέρωσεν, ἀνελευθέρως τῇ δωρεᾷ χρησάμενος. Οὐ γὰρ ἠξίου Λούκουλλος ἄνδρα διὰ παιδείαν ἐσπουδασμένον, δοῦλον γενέσθαι πρότερον, εἶτα ἀπελεύθερον. Ἀφαίρεσις γὰρ ἦν τῆς ὑπαρχούσης, ἡ τῆς δο-

*κούσης ἐλευθερίας δόσις. Ἀλλὰ Μουρήνας μὲν οὐκ ἐνταῦθα μόνον ὤφθη πολὺ τῆς τοῦ στρατηγοῦ καλοκαγαθίας ἀποδέων.*

XX. *Λούκουλλος δὲ τρέπεται πρὸς τὰς ἐν Ἀσίᾳ πόλεις, ὅπως, τῶν πολεμικῶν ἔργων σχολάζοντος αὐτοῦ, καὶ δίκης τινὸς μετάσχῃ καὶ θεσμῶν, ὧν ἐπὶ πολὺν χρόνον ἐνδεῆ τὴν ἐπαρχίαν οὖσαν ἄρρητοι καὶ ἄπιστοι δυστυχίαι κατεῖχον, ὑπὸ τῶν τελωνῶν καὶ τῶν δανειστῶν πορθουμένην καὶ ἀνδραποδιζομένην, πιπράσκειν ἰδίᾳ μὲν υἱοὺς εὐπρεπεῖς, θυγατέρας δὲ παρθένους, δημοσίᾳ δ' ἀναθήματα, γραφὰς, ἱεροὺς ἀνδριάντας, ἀναγκαζομένων. Αὐτοῖς δὲ τέλος μὲν ἦν προσθέτοις γενομένοις δουλεύειν· τὰ δὲ πρὸ τούτου χαλεπώτερα, σχοινισμοὶ, καὶ κιγκλίδες, καὶ ἵπποι, καὶ στάσεις ὕπαιθροι, καύματος μὲν ἐν ἡλίῳ, ψύχους δ' εἰς πηλὸν ἐμβιβαζομένων, ἢ πάγον· ὥστε τὴν δουλείαν σεισάχθειαν δοκεῖν εἶναι καὶ εἰρήνην. Τοιαῦτα μὲν κακὰ Λούκουλλος εὑρὼν ἐν ταῖς πόλεσιν, ὀλίγῳ χρόνῳ πάντων ἀπήλλαξε τοὺς ἀδικουμένους. Πρῶτον μὲν γὰρ ἑκατοστὴν ἐκέλευσε, καὶ μὴ πλέον, εἰς τοὺς τόκους λογίζεσθαι· δεύτερον δὲ τοὺς μακροτέρους τοῦ ἀρχαίου τόκους ἀπέκοψε. Τὸ δὲ τρίτον καὶ μέγιστον, ἔταξε τῶν τοῦ χρεωφειλέτου προσόδων τὴν τετάρτην μερίδα καρποῦσθαι τὸν δανειστήν· ὁ δὲ τόκον κεφαλαίῳ συνάψας ἐστέρητο τοῦ παντός. Ὥστ' ἐν ἐλάττονι χρόνῳ τετραετίας διαλυθῆναι τὰ χρέα πάντα, καὶ τὰς κτήσεις ἐλευθέρας ἀποδοθῆναι τοῖς δεσπόταις. Ἦν δὲ τοῦτο κοινὸν δάνειον ἐκ τῶν δισ-*

НБ ОНУ імені І.І. Мечникова

μυρίων ταλάντων, οἷς τὴν Ἀσίαν ἐζημίωσεν ὁ Σύλλας· καὶ διπλοῦν ἀπεδόθη τοῖς δανείσασιν, ὑπ' ἐκείνων ἀνηγμένον ἤδη τοῖς τόκοις εἰς δώδεκα μυριάδας ταλάντων. Ἐκεῖνοι μὲν οὖν, ὡς δεινὰ πεπονθότες, ἐν Ῥώμῃ τοῦ Λουκούλλου κατεβόων, καὶ χρήμασιν ἀνίστασαν ἐπ' αὐτὸν ἐνίους τῶν δημαγωγῶν, μέγα δυνάμενοι, καὶ πολλοὺς ὑπόχρεως πεποιημένοι τῶν πολιτευομένων. Ὁ δὲ Λούκουλλος οὐ μόνον ὑπὸ τῶν εὖ πεπονθότων ἠγαπᾶτο δήμων, ἀλλὰ καὶ ταῖς ἄλλαις ἐπαρχίαις ποθεινὸς ἦν, εὐδαιμονιζούσαις τοὺς ἡγεμόνος τοιούτου τυχόντας.

XXI. Ἄππιος δὲ Κλώδιος, ὁ πεμφθεὶς πρὸς Τιγράνην, (ἦν δ' ὁ Κλώδιος ἀδελφὸς τῆς τότε Λουκούλλῳ συνοικούσης) πρῶτον μὲν ὑπὸ τῶν βασιλικῶν ὁδηγῶν κύκλον τινὰ καὶ περιβολὴν ἔχουσαν οὐκ ἀναγκαίαν καὶ πολυήμερον ὁδὸν διὰ τῆς ἄνω χώρας ἀγόμενος, μηνύσαντος αὐτῷ τὴν εὐθεῖαν ὁδὸν ἀπελευθέρου, Σύρου τὸ γένος, ἐκτρέπεται τῆς μακρᾶς ἐκείνης καὶ σοφιστικῆς, ἐρρῶσθαι φράσας πολλὰ τοῖς βαρβάροις ἀγωγοῖς· καὶ δι' ἡμερῶν ὀλίγων τὸν Εὐφράτην περάσας, εἰς Ἀντιόχειαν ἧκε τὴν ἐπὶ Δάφνης. Ἐπεὶ δὲ Τιγράνην αὐτοῦ κελευσθεὶς περιμένειν, (ἀπῆν γὰρ ἐνίας ἔτι τῶν ἐν Φοινίκῃ πόλεων καταστρεφόμενος) πολλοὺς μὲν ᾠκειώσατο τῶν ὑπούλως ἀκροωμένων τοῦ Ἀρμενίου δυναστῶν, ὧν εἷς ἦν καὶ Ζαρβιηνὸς, ὁ τῆς Γορδυηνῆς βασιλεύς· πολλαῖς δὲ κρύφα τῶν δεδουλωμένων πόλεων, διαπεμπομέναις πρὸς αὐτὸν, ὑπέσχετο τὴν Λουκούλλου βοήθειαν, ἐν τῷ

παρόντι κελεύσας ἡσυχάζειν. Ἦν γὰρ οὐκ ἀνασχετὴ τῶν Ἀρμενίων ἡ ἀρχὴ τοῖς Ἕλλησιν, ἀλλὰ χαλεπή· καὶ μάλιστα τοῦ βασιλέως αὐτοῦ τὸ φρόνημα τραγικὸν καὶ ὑπέρογκον ἐν ταῖς μεγάλαις εὐτυχίαις ἐγεγόνει, πάντων, ὅσα ζηλοῦσιν οἱ πολλοὶ καὶ θαυμάζουσιν, οὐ μόνον ὄντων περὶ αὐτὸν, ἀλλὰ καὶ δι' αὐτὸν γεγονέναι δοκούντων. Ἀρξάμενος γὰρ ἀπὸ μικρᾶς καὶ καταφρονουμένης ἐλπίδος, ἔθνη πολλὰ κατεστρέψατο, καὶ τὴν Πάρθων, ὡς ἄλλος οὐδεὶς, δύναμιν ἐταπείνωσεν, Ἑλλήνων δὲ τὴν Μεσοποταμίαν ἀνέπλησε, πολλοὺς μὲν ἐκ Κιλικίας, πολλοὺς δ' ἐκ Καππαδοκίας ἀνασπάστους κατοικίζων. Ἐκίνησε δ' ἐξ ἠθῶν καὶ Ἄραβας τοὺς Σκηνίτας μεταγαγὼν, καὶ πλησίον ἱδρύσας, ὅπως χρῷτο δι' ἐκείνων ταῖς ἐμπορίαις. Βασιλεῖς δὲ, πολλοὶ μὲν ἦσαν οἱ θεραπεύοντες αὐτόν· τέσσαρες δὲ, οὓς ἀεὶ περὶ αὐτὸν εἶχεν, ὥσπερ ὀπαδοὺς, ἢ δορυφόρους, ἱππότῃ μὲν ἐλαύνοντι πεζοὺς παραθέοντας ἐν χιτωνίσκοις, καθημένῳ δὲ καὶ χρηματίζοντι περιεστῶτας ἐπηλλαγμέναις δι' ἀλλήλων ταῖς χερσίν· ὅπερ ἐδόκει μάλιστα τῶν σχημάτων ἐξομολόγησις εἶναι δουλείας, οἷον ἀποδομένων τὴν ἐλευθερίαν, καὶ τὸ σῶμα τῷ κυρίῳ παρεχόντων παθεῖν ἑτοιμότερον, ἢ ποιῆσαι. Ταύτην μέντοι τὴν τραγῳδίαν οὐχ ὑποτρέσας, οὐδ' ἐκπλαγεὶς Ἄππιος, ὡς ἔτυχε λόγου πρῶτον, ἄντικρυς ἥκειν ἔφη Μιθριδάτην ἀπάξων, ὀφειλόμενον τοῖς Λουκούλλου θριάμβοις, ἢ καταγγελῶν Τιγράνῃ πόλεμον· ὥστε τὸν Τιγράνην, καίπερ ἐν διαχύσει τοῦ προσώπου καὶ μειδιάματι



НБ ОНУ імені І.І. Мечникова

πεπλασμένοι πειρώμενον ἀκούειν τῶν λόγων, μὴ λαθεῖν τοὺς παρόντας ἠλλοιωμένον τῇ παρρησίᾳ τοῦ νεανίσκου, φωνῆς σχεδὸν ἐλευθέρας ἀκούοντα διὰ πέντε καὶ εἴκοσιν ἐτῶν· τοσαῦτα γὰρ ἐβασίλευσε, μᾶλλον δὲ ὕβρισεν. Ἀπεκρίνατο μὲν οὖν τῷ Ἀππίῳ μὴ προήσεσθαι Μιθριδάτην, καὶ Ῥωμαίους πολέμου ἄρχοντας ἀμυνεῖσθαι. Λουκούλλῳ δ' ὀργιζόμενος, ὅτι βασιλέα μόνον αὐτὸν, οὐ βασιλέα βασιλέων, ἐν τῇ ἐπιστολῇ προσηγόρευσεν, οὐδ' αὐτὸς ἀντιγράφων αὐτοκράτορα προσεῖπεν. Ἔπεμψε δὲ δῶρα τῷ Ἀππίῳ λαμπρὰ, καὶ μὴ λαβόντος, ἄλλα πλείω προσέθηκεν. Ἐκ τούτων ὁ Ἄππιος, οὐκ ἐθέλων δοκεῖν ἔχθρᾳ τινὶ διωθεῖσθαι, φιάλην δεξάμενος μίαν, ἀπέπεμψε τὰ λοιπὰ, καὶ διὰ ταχέων ἀπήλαυνε πρὸς τὸν αὐτοκράτορα.

XXII. Τιγράνης δὲ Μιθριδάτην πρότερον μὲν οὐδ' ἰδεῖν ἠξίωσεν, οὐδὲ προσειπεῖν οἰκεῖον ἄνδρα, βασιλείας ἐκπεπτωκότα τηλικαύτης, ἀλλ' ἀτίμως καὶ ὑπερηφάνως ἀπωτάτω περιεῖδεν αὐτὸν τρόπον τινὰ φρουρούμενον ἐν χωρίοις ἑλώδεσι καὶ νοσεροῖς· τότε δὲ σὺν τιμῇ καὶ φιλοφροσύνῃ μετεπέμψατο αὐτόν. Καὶ δὴ λόγων εἰς τὰ βασίλεια γενομένων ἀπορρήτων, τὰς πρὸς ἀλλήλους ἐθεράπευον ὑποψίας ἐπὶ κακῷ τῶν φίλων, εἰς ἐκείνους τὰς αἰτίας τρέποντες. Ὧν ἦν καὶ Μητρόδωρος ὁ Σκήψιος, ἀνὴρ εἰπεῖν οὐκ ἀηδὴς, καὶ πολυμαθὴς, ἀκμῇ δὲ φιλίας τοσαύτῃ χρησάμενος, ὥστε πατὴρ προσαγορεύεσθαι τοῦ βασιλέως. Τοῦτον, ὡς ἔοικεν, ὁ Τιγράνης, πεμφθέντα πρεσβευ-

НБ ОНУ імені І.І.Мечникова

τὴν ὑπὸ τοῦ Μιθριδάτου πρὸς αὐτόν, δεομένου βοηθεῖν ἐπὶ Ῥωμαίους, ἤρετο· „Σὺ δ' αὐτός, ὦ Μητρόδωρε, τί μοι περὶ τούτων παραινεῖς;“ Κἀκεῖνος, εἴτε πρὸς τὸ Τιγράνου συμφέρον, εἴτε Μιθριδάτην σώζεσθαι μὴ βουλόμενος, ὡς μὲν πρεσβευτής, ἔφη, κελεύειν, ὡς δὲ σύμβουλος, ἀπαγορεύειν. Ταῦτ' ἐξήνεγκεν ὁ Τιγράνης τῷ Μιθριδάτῃ, καὶ κατεῖπεν, ὡς οὐδὲν ἐργασομένῳ τὸν Μητρόδωρον ἀνήκεστον. Ὁ δ' εὐθὺς ἀνῄρητο· καὶ μετάνοια τὸν Τιγράνην εἶχεν, οὐ παντελῶς ὄντα τῷ Μητροδώρῳ τῆς συμφορᾶς αἴτιον, ἀλλὰ ῥοπήν τινα τῷ πρὸς αὐτὸν ἔχθει τοῦ Μιθριδάτου προσθέντα. Πάλαι γὰρ ὑπούλως εἶχε πρὸς τὸν ἄνδρα· καὶ τοῦτ' ἐφωράθη, τῶν ἀποῤῥήτων αὐτοῦ γραμμάτων ἁλόντων, ἐν οἷς ἦν καὶ Μητρόδωρον ἀπολέσθαι διατεταγμένον. Ἔθαψεν οὖν ὁ Τιγράνης λαμπρῶς τὸ σῶμα, μηδεμιᾶς πολυτελείας φεισάμενος εἰς νεκρόν, ὃν ζῶντα προὔδωκεν. Ἐτελεύτησε δὲ παρὰ τῷ Τιγράνῃ καὶ Ἀμφικράτης ὁ ῥήτωρ· εἰ δεῖ καὶ τούτου μνήμην τινὰ γενέσθαι διὰ τὰς Ἀθήνας. Λέγεται γὰρ φυγεῖν μὲν αὐτὸν εἰς Σελεύκειαν τὴν ἐπὶ Τίγριδι· δεομένων δ' αὐτόθι σοφιστεύειν, ὑπεριδεῖν, καταλαζονευσάμενον, ὡς οὐδὲ λεκάνη δελφῖνα χωροίη· μεταστάντα δὲ πρὸς Κλεοπάτραν, τὴν Μιθριδάτου θυγατέρα, Τιγράνῃ δὲ συνοικοῦσαν, ἐν διαβολῇ γενέσθαι ταχύ, καὶ τῆς πρὸς τοὺς Ἕλληνας ἐπιμιξίας εἰργόμενον ἀποκαρτερῆσαι. Ταφῆναι δὲ καὶ τοῦτον ἐντίμως ὑπὸ τῆς Κλεοπάτρας, καὶ κεῖσθαι περὶ Σαφάν, ἐκεῖ τι χωρίον οὕτω καλούμενον.

XXIII. Λούκουλλος δὲ τὴν Ἀσίαν πολλῆς μὲν εὐνομίας, πολλῆς δ' εἰρήνης ἐμπεπληκώς, οὐδὲ τῶν πρὸς ἡδονὴν καὶ χάριν ἠμέλησεν· ἀλλὰ πομπαῖς καὶ πανηγύρεσιν ἐπινικίοις, καὶ ἀγῶσιν ἀθλητῶν καὶ μονομάχων ἐν Ἐφέσῳ καθήμενος ἐδημαγώγει τὰς πόλεις. Αἱ δ' ἀμειβόμεναι Λουκούλλειά τ' ἦγον ἐπὶ τιμῇ τοῦ ἀνδρός, καὶ τῆς τιμῆς ἡδίονα τὴν ἀληθινὴν εὔνοιαν αὐτῷ παρεῖχον. Ἐπεὶ δ' Ἄππιός τε ἧκε, καὶ πολεμητέον πρὸς Τιγράνην ἐφαίνετο, παρῆλθεν αὖθις εἰς Πόντον· καὶ τοὺς στρατιώτας ἀναλαβών, ἐπολιόρκει Σινώπην, μᾶλλον δὲ τοὺς κατέχοντας αὐτὴν βασιλικοὺς Κίλικας, οἳ πολλοὺς μὲν ἀνελόντες τῶν Σινωπέων, τὴν δὲ πόλιν ἐμπρήσαντες, διὰ νυκτὸς ἔφυγον. Αἰσθόμενος δ' ὁ Λούκουλλος, καὶ παρελθὼν εἰς τὴν πόλιν, ὀκτακισχιλίους αὐτῶν τοὺς ἐγκαταλειφθέντας ἀπέκτεινε· τοῖς δ' ἄλλοις ἀπέδωκε τὰ οἰκεῖα, καὶ τῆς πόλεως ἐπεμελήθη, μάλιστα διὰ τὴν τοιαύτην ὄψιν. Ἐδόκει τινὰ κατὰ τοὺς ὕπνους εἰπεῖν παραστάντα· „Πρόελθε, Λούκουλλε, μικρόν· ἥκει γὰρ Αὐτόλυκος ἐντυχεῖν σοι βουλόμενος." Ἐξαναστὰς δέ, τὴν μὲν ὄψιν οὐκ εἶχε συμβαλεῖν εἰς ὅ φέροι· τὴν δὲ πόλιν εἷλε κατ' ἐκείνην τὴν ἡμέραν, καὶ τοὺς ἐκπλέοντας τῶν Κιλίκων διώκων, ὁρᾷ παρὰ τὸν αἰγιαλὸν ἀνδριάντα κείμενον, ὃν ἐκκομίζοντες οἱ Κίλικες οὐκ ἔφθασαν ἐμβαλέσθαι. Τὸ δ' ἔργον ἦν Σθένιδος τῶν καλῶν. Φράζει οὖν τις, ὡς Αὐτολύκου, τοῦ κτίσαντος τὴν Σινώπην, ὁ ἀνδριὰς εἴη. Λέγεται δ' ὁ Αὐτόλυκος γενέσθαι τῶν ἐπὶ τὰς Ἀμαζόνας ἐκ Θετ-

НБ ОНУ імені І. І. Мечникова

ταλίας Ἡρακλεῖ συστρατευσάντων, Δηϊμάχου παῖς ἐκεῖθεν δ᾽ ἀποπλέων ἅμα Δημολέοντι καὶ Φλογίῳ, τὴν μὲν ναῦν ἀπολέσαι, περιπεσοῦσαν τῆς Χεῤῥονήσου κατὰ τὸ καλούμενον Πηδάλιον, αὐτὸς δὲ σωθεὶς μετὰ τῶν ὅπλων καὶ τῶν ἑταίρων πρὸς τὴν Σινώπην, ἀφελέσθαι τοὺς Σύρους τὴν πόλιν· Σύροι γὰρ αὐτὴν κατεῖχον, ἀπὸ Σύρου γεγονότες τοῦ Ἀπόλλωνος, ὡς λέγεται, καὶ Σινώπης τῆς Ἀσωπίδος. Ταῦτ᾽ ἀκούων ὁ Λούκουλλος, ἀνεμιμνήσκετο τῆς Σύλλα παραινέσεως. Παρῄνει δὲ διὰ τῶν ὑπομνημάτων ἐκεῖνος, μηδὲν οὕτως ἀξιόπιστον ἡγεῖσθαι καὶ βέβαιον, ὡς ὅ τι ἂν ἀποσημανθῇ διὰ τῶν ἐνυπνίων. Πυνθανόμενος δὲ, Μιθριδάτην τε καὶ Τιγράνην εἰς Λυκαονίαν καὶ Κιλικίαν ὅσον οὔπω διαβιβάζειν δύναμιν, ὡς προτέρους ἐμβαλοῦντας εἰς τὴν Ἀσίαν, ἐθαύμαζε τὸν Ἀρμένιον, εἰ γνώμην ἔχων ἐπιθέσθαι Ῥωμαίοις, ἀκμάζοντι μὲν οὐκ ἐχρῆτο Μιθριδάτῃ πρὸς τὸν πόλεμον, οὐδ᾽ ἐῤῥωμένοις τοῖς ἐκείνου τὰ παρ᾽ αὑτοῦ συνῆπτεν· ἀπολέσθαι δ᾽ ἐάσας καὶ συντριβῆναι, νῦν ἐπὶ ψυχραῖς ἐλπίσιν ἄρχεται πολέμου, τοῖς ἀναστῆναι μὴ δυναμένοις συγκαταβάλλων ἑαυτόν.

XXIV. Ἐπειδὴ δὲ καὶ Μαχάρης, ὁ Μιθριδάτου παῖς, ἔχων τὸν Βόσπορον, ἔπεμψεν αὐτῷ στέφανον ἀπὸ χρυσῶν χιλίων, δεόμενος Ῥωμαίων ἀναγραφῆναι φίλος καὶ σύμμαχος· ἤδη οἰόμενος τὰ τοῦ προτέρου πολέμου πέρας ἔχειν, Σωρνάτιον μὲν αὐτοῦ φύλακα τῶν Ποντικῶν ἀπέλιπε μετὰ στρατιωτῶν ἑξακισχιλίων· αὐτὸς δὲ μυρίους μὲν ἄγων καὶ δισχιλίους πεζοὺς,

НБ ОНУ імені І.І. Мечникова

ἱππεῖς δὲ τρισχιλίων ἐλάττους, ἐπὶ τὸν δεύτερον ἐχώρει πόλεμον, ὁρμῇ τινι δοκῶν παραβόλῳ, καὶ σωτήριον οὐκ ἐχούσῃ λογισμόν, ἐμβαλεῖν αὐτὸν εἰς ἔθνη μάχιμα, καὶ μυριάδας ἱππέων πολλάς, καὶ ἀχανῆ χώραν, βαθέσι μὲν ποταμοῖς, ἀεὶ δὲ κατανιφομένοις ὄρεσι περιεχομένην· ὥστε τοὺς μὲν στρατιώτας, οὐδ᾽ ἄλλως ὄντας εὐτάκτους, ἄκοντας ἕπεσθαι καὶ ζυγομαχοῦντας, ἐν δὲ Ῥώμῃ καταβοᾶν καὶ διαμαρτύρεσθαι τοὺς δημαγωγούς, ὡς πόλεμον ἐκ πολέμου διώκει Λούκουλλος, οὐδὲν τῆς πόλεως δεομένης, ἀλλ᾽ ὑπὲρ τοῦ στρατηγῶν μηδέποτε καταθέσθαι τὰ ὅπλα, μηδὲ παύσασθαι χρηματιζόμενος ἀπὸ τῶν κοινῶν κινδύνων. Οὗτοι μὲν οὖν ἐξειργάσαντο χρόνῳ τὴν αὑτῶν ὑπόθεσιν· Λούκουλλος δὲ συντόνως ὁδεύσας ἐπὶ τὸν Εὐφράτην, καὶ κατιόντα πολὺν καὶ θολερὸν ὑπὸ χειμῶνος εὑρών, ἤσχαλλεν, ὡς διατριβῆς αὐτῷ καὶ πραγματείας ἐσομένης, συνάγοντι πορθμεῖα, καὶ πηγνυμένῳ σχεδίας. Ἀρξάμενον δ᾽ ἀφ᾽ ἑσπέρας ὑποχωρεῖν τὸ ῥεῦμα, καὶ μειούμενον διὰ τῆς νυκτός, ἅμ᾽ ἡμέρᾳ κοῖλον ὀφθῆναι παρέσχε τὸν ποταμόν. Οἱ δ᾽ ἐπιχώριοι, νησῖδας ἐν τῷ πόρῳ μικρὰς διαφανείσας θεασάμενοι, καὶ τεναγίζοντα τὸν ῥοῦν ἐπ᾽ αὐταῖς, προσεκύνουν τὸν Λούκουλλον, ὡς δὴ ὀλιγάκις τούτου συμβεβηκότος πρότερον· ἐκείνῳ δ᾽ ἑκουσίως χειροήθη καὶ πρᾶον αὐτὸν ἐνδιδόντος τοῦ ποταμοῦ, καὶ παρέχοντος ἀπράγμονα καὶ ταχεῖαν τὴν διάβασιν. Χρησάμενος οὖν τῷ καιρῷ, διεβίβαζε τὴν στρατιάν, καὶ γίνεται σημεῖον αὐτῷ χρηστὸν ἅμα τῇ δια-

НБ ОНУ імені І.І. Мечникова

βάσει. Βόες ἱεραὶ νέμονται Περσίας Ἀρτέμιδος, ἣν μάλιστα θεῶν οἱ πέραν Εὐφράτου βάρβαροι τιμῶσι. Χρῶνται δὲ ταῖς βουσὶ πρὸς θυσίαν μόνον, ἄλλως δὲ πλάζονται κατὰ τὴν χώραν ἄφετοι, χάραγμα φέρουσαι τῆς θεοῦ, λαμπάδα· καὶ λαβεῖν ἐξ αὐτῶν, ὅταν δεηθῶσιν, οὐ πάνυ ῥάδιόν ἐστιν, οὐδὲ μικρᾶς πραγματείας. Τούτων μία, τοῦ στρατοῦ διαβάντος τὸν Εὐφράτην, ἐλθοῦσα πρός τινα πέτραν, ἱερὰν τῆς θεοῦ νομιζομένην, ἐπ' αὐτῆς ἔστη, καὶ καταβαλοῦσα τὴν κεφαλήν, ὥσπερ αἱ δεσμῷ κατατεινόμεναι, θῦσαι τῷ Λουκούλλῳ παρέσχεν αὑτήν. Ἔθυσε δὲ καὶ τῷ Εὐφράτῃ ταῦρον διαβατήρια. Κἀκείνην μὲν αὐτοῦ τὴν ἡμέραν ηὐλίσατο, τῇ δ' ὑστεραίᾳ καὶ ταῖς ἐφεξῆς προῆγε διὰ τῆς Σωφηνῆς, οὐδὲν ἀδικῶν τοὺς ἀνθρώπους προσχωροῦντας αὐτῷ καὶ δεχομένους τὴν στρατιὰν ἀσμένους. Ἀλλὰ καὶ τῶν στρατιωτῶν φρούριόν τι δοκοῦν ἔχειν χρήματα πολλὰ βουλομένων λαβεῖν· „Ἐκεῖνο (ἔφη) μᾶλλον τὸ φρούριον ἡμῖν ἐκκοπτέον ἐστί, (δείξας τὸν Ταῦρον ἀπωθεν ὄντα,) ταῦτα δ' ἀπόκειται τοῖς νικῶσι." Συντείνας δὲ τὴν πορείαν, καὶ τὸν Τίγριν διαβὰς, ἐνέβαλεν εἰς τὴν Ἀρμενίαν.

XXV. Τιγράνῃ δ', ὡς ὁ πρῶτος ἀγγείλας ἥκοντα Λούκουλλον, οὐκ ἐχαίρησεν, ἀλλ' ἀπετέτμητο τὴν κεφαλὴν, οὐδεὶς ἄλλος ἔφραζεν· ἀλλ' ἀγνοῶν καθῆστο περικαιόμενος ἤδη τῷ πολεμίῳ πυρὶ, λόγους ἀκούων πρὸς χάριν, ὡς μέγαν ὄντα Λούκουλλον στρατηγὸν, εἰ πρὸς Ἐφέσῳ Τιγράνην ὑποσταίη,

καὶ μὴ φεύγων εὐθὺς ἐξ Ἀσίας οἴχοιτο, τὰς τοσαύτας μυριάδας ἰδών. Οὕτως οὔτε σώματος παντός ἐστι, πολὺν ἄκρατον ἐνεγκεῖν, οὔτε διανοίας τῆς τυχούσης, ἐν εὐτυχήμασι μεγάλοις μὴ ἐκστῆναι τῶν λογισμῶν. Πρῶτος δ' αὐτῷ τῶν φίλων ἐτόλμησε Μιθροβαρζάνης φράσαι τὸ ἀληθές. Οὐδ' οὗτος δὲ χρηστὸν ἠνέγκατο γέρας τῆς παῤῥησίας. Ἐπέμφθη γὰρ εὐθὺς ἐπὶ τὸν Λούκουλλον σὺν ἱππεῦσι τρισχιλίοις, πεζοῖς δὲ παμπόλλοις, κελευσθεὶς τὸν μὲν στρατηγὸν ἄγειν ζῶντα, τοὺς δ' ἄλλους καταπατῆσαι. Λουκούλλῳ δὲ τῆς στρατιᾶς ἡ μὲν ἤδη κατεζεύγνυεν, ἡ δὲ ἔτι προσῄει. Τῶν δὲ σκοπῶν αὐτῷ φρασάντων ἐπελαύνοντα τὸν βάρβαρον, ἔδεισε, μὴ χωρὶς ὄντας καὶ οὐκ ἐν τάξει προσπεσὼν ταράξῃ. Καὶ αὐτὸς μὲν καθίστατο τὴν στρατοπεδείαν, Σεξτίλιον δὲ πρεσβευτὴν ἔπεμψεν ἱππεῖς ἔχοντα χιλίους ἑξακοσίους, ὁπλίτας δὲ καὶ ψιλοὺς οὐ πολλῷ πλείονας· κελεύσας ἐγγὺς προσελθόντα τοῖς πολεμίοις μένειν, ἕως ἂν πύθηται τοὺς μετ' αὐτοῦ κατεστρατοπεδευκότας. Ἐβούλετο μὲν οὖν ὁ Σεξτίλιος ταῦτα ποιεῖν, ἐβιάσθη δ' ὑπὸ τοῦ Μιθροβαρζάνου θρασέως ἐπελαύνοντος εἰς χεῖρας ἐλθεῖν. Καὶ γενομένης μάχης, ὁ μὲν Μιθροβαρζάνης ἔπεσεν ἀγωνιζόμενος, οἱ δ' ἄλλοι φεύγοντες ἀπώλοντο πλὴν ὀλίγων ἅπαντες. Ἐκ τούτου Τιγράνης μὲν, ἐκλιπὼν Τιγρανόκερτα, μεγάλην πόλιν, ἐκτισμένην ὑπ' αὐτοῦ, πρὸς τὸν Ταῦρον ἀνεχώρησε, καὶ τὰς δυνάμεις πανταχόθεν ἐνταῦθα συνῆγε. Λούκουλλος δὲ τῇ παρα-

НБ ОНУ імені І.І. Мечникова

σκευῇ χρόνον οὐ διδοὺς, Μουρήναν μὲν ἐξέπεμψεν ἐνοχλήσοντα καὶ περικόψοντα τοὺς ἀθροιζομένους πρὸς τὸν Τιγράνην, Σεξτίλιον δὲ πάλιν, Ἀράβων χεῖρα μεγάλην ἀνείρξοντα βασιλεῖ προσιοῦσαν. Ὁμοῦ δὲ Σεξτίλιος μὲν, ἐπιπεσὼν στρατόπεδον ποιουμένοις τοῖς Ἄραψι, τοὺς πλείστους διέφθειρε· Μουρήνας δ', ἑπόμενος Τιγράνῃ, τραχὺν αὐλῶνα καὶ στενόπορον στρατῷ μακρῷ διεκβάλλοντι, καιροῦ παρασχόντος, ἐπιτίθεται. Καὶ φεύγει μὲν αὐτὸς Τιγράνης, προέμενος τὴν ἀποσκευὴν ἅπασαν· ἀποθνήσκουσι δὲ πολλοὶ, καὶ πλείονες ἁλίσκονται τῶν Ἀρμενίων.

XXVI. Οὕτω δὲ τούτων προχωρούντων, ἄρας ὁ Λούκουλλος ἐπορεύετο πρὸς Τιγρανόκερτα, καὶ περιστρατοπεδεύσας, ἐπολιόρκει τὴν πόλιν. Ἦσαν δ' ἐν αὐτῇ πολλοὶ μὲν Ἕλληνες τῶν ἀναστάντων ἐκ Κιλικίας, πολλοὶ δὲ βάρβαροι τοῖς Ἕλλησιν ὅμοια πεπονθότες, Ἀδιαβηνοὶ, καὶ Ἀσσύριοι, καὶ Γορδυηνοὶ, καὶ Καππάδοκες· ὧν κατασκάψας τὰς πατρίδας, αὐτοὺς δὲ κομίσας, ἐκεῖ κατοικεῖν ἠνάγκασεν. Ἦν δὲ καὶ χρημάτων ἡ πόλις μεστὴ καὶ ἀναθημάτων, παντὸς ἰδιώτου καὶ δυνάστου τῷ βασιλεῖ συμφιλοτιμουμένου πρὸς αὔξησιν καὶ κατασκευὴν τῆς πόλεως. Διὸ καὶ συντόνως ἐπολιόρκει ὁ Λούκουλλος αὐτὴν, οὐκ ἀνέξεσθαι τὸν Τιγράνην οἰόμενος, ἀλλὰ καὶ παρὰ γνώμην ὑπ' ὀργῆς καταβήσεσθαι διαμαχούμενον, ὀρθῶς οἰόμενος. Πολλὰ δὲ Μιθριδάτης ἀπηγόρευσεν, ἀγγέλους πέμπων καὶ γράμματα, μὴ συνάπτειν μάχην, ἀλλὰ τοῖς ἱππεῦσι περικόπτειν τὴν ἀγορὰν

НБ ОНУ імені І.І. Мечникова

πολλὰ δὲ Ταξίλης, ἥκων παρ' αὐτοῦ καὶ συστρατεύων, ἐδεῖτο τοῦ βασιλέως φυλάττεσθαι καὶ φεύγειν, ὡς ἄμαχον πρᾶγμα, τὰ Ῥωμαίων ὅπλα. Καὶ τά γε πρῶτα πράως ἤκουε τούτων. Ἐπεὶ δὲ πανστρατιᾷ μὲν αὐτῷ συνῆλθον Ἀρμένιοι καὶ Γορδυηνοὶ, πανστρατιᾷ δὲ Μήδους καὶ Ἀδιαβηνοὺς ἄγοντες οἱ βασιλεῖς παρῆσαν, ἧκον δὲ πολλοὶ μὲν ἀπὸ τῆς ἐν Βαβυλῶνι θαλάσσης Ἄραβες, πολλοὶ δ' ἀπὸ τῆς Κασπίας Ἀλβανοὶ, καὶ Ἴβηρες Ἀλβανοῖς προσοικοῦντες, οὐκ ὀλίγοι δὲ τῶν περὶ τὸν Ἀράξην νεμομένων ἀβασίλευτοι, χάριτι καὶ δώροις πεισθέντες, ἀπήντησαν· ἐλπίδων δὲ καὶ θράσους καὶ βαρβαρικῶν ἀπειλῶν μεστὰ μὲν ἦν τὰ συμπόσια τοῦ βασιλέως, μεστὰ δὲ τὰ συμβούλια· παρεκινδύνευσε μὲν ὁ Ταξίλης ἀποθανεῖν, ὑπεναντιούμενος τῇ γνώμῃ τῆς μάχης, ἐδόκει δὲ καὶ Μιθριδάτης φθονῶν ἀποτρέπειν μεγάλου κατορθώματος.. Ὅθεν οὐδ' ἀνέμειτεν αὐτὸν ὁ Τιγράνης, μὴ μετάσχοι τῆς δόξης, ἀλλ' ἐχώρει παντὶ τῷ στρατῷ, σφόδρα δυσφορῶν, ὡς λέγεται, πρὸς τοὺς φίλους, ὅτι πρὸς Λούκουλλον αὐτῷ μόνον, οὐ πρὸς ἅπαντας ὁ ἀγὼν ἔσοιτο τοὺς Ῥωμαίων στρατηγοὺς ἐν ταὐτῷ γενομένους. Καὶ οὐ παντάπασιν ἦν τὸ θράσος αὐτοῦ μανιῶδες, οὐδ' ἄλογον, ἔθνη τοσαῦτα καὶ βασιλεῖς ἑπομένους, καὶ φάλαγγας ὁπλιτῶν, καὶ μυριάδας ἱππέων ἀποβλέποντος. Τοξότας μὲν γὰρ καὶ σφενδονήτας δισμυρίους ἦγεν, ἱππεῖς δὲ πεντακισμυρίους καὶ πεντακισχιλίους· ὧν ἑπτακισχίλιοι καὶ μύριοι κατάφρακτοι

ἦσαν, ὡς Λούκουλλος ἔγραψε πρὸς τὴν σύγκλητον· ὁπλιτῶν δέ, τῶν μὲν εἰς σπείρας, τῶν δ' εἰς φάλαγγας συντεταγμένων, πεντεκαίδεκα μυριάδας, ὁδοποιοὺς δὲ καὶ γεφυρωτάς, καὶ καθαρτὰς ποταμῶν, καὶ ὑλοτόμους, καὶ τῶν ἄλλων χρειῶν ὑπηρέτας, τρισμυρίους καὶ πεντακισχιλίους· οἳ τοῖς μαχομένοις ἐπιτεταγμένοι κατόπιν ὄψιν ἅμα καὶ ῥώμην παρεῖχον.

XXVII. Ὡς δ' ὑπερβαλὼν τὸν Ταῦρον, ἄθρους κατεφάνη, καὶ κατεῖδε πρὸς τοῖς Τιγρανοκέρτοις ἐπικαθήμενον τὸ στράτευμα τῶν Ῥωμαίων, ὁ μὲν ἐν τῇ πόλει βάρβαρος ὅμιλος ὀλολυγῇ καὶ κρότῳ τὴν ὄψιν ἐδέξατο, καὶ τοῖς Ῥωμαίοις ἀπὸ τῶν τειχῶν ἀπειλοῦντες ἐδείκνυσαν τοὺς Ἀρμενίους. Λουκούλλῳ δέ, σκοποῦντι περὶ τῆς μάχης, οἱ μὲν ἄγειν ἐπὶ Τιγράνην, ἐάσαντα τὴν πολιορκίαν, συνεβούλευον, οἱ δὲ μὴ καταλιπεῖν ὀπίσω πολεμίους τοσούτους, μηδ' ἀνεῖναι τὴν πολιορκίαν. Ὁ δ', εἰπὼν ἑκατέρους μὲν οὐκ ὀρθῶς, ἀμφοτέρους δὲ καλῶς παραινεῖν, διεῖλε τὴν στρατιάν. Καὶ Μουρήναν μὲν ἑξακισχιλίους ἔχοντα πεζοὺς ἐπὶ τῆς πολιορκίας ἀπέλιπεν, αὐτὸς δὲ τέσσαρας καὶ εἴκοσι σπείρας ἀναλαβών, ἐν αἷς οὐ πλείονες ἦσαν μυρίων ὁπλιτῶν, καὶ τοὺς ἱππεῖς ἅπαντας, καὶ σφενδονήτας καὶ τοξότας περὶ χιλίους, ἐχώρει. Καὶ παρὰ τὸν ποταμὸν ἐν πεδίῳ μεγάλῳ καταστρατοπεδεύσας, παντάπασι μικρὸς ἐφάνη Τιγράνῃ, καὶ τοῖς κολακεύουσιν αὐτὸν διατριβὴν παρεῖχεν. Οἱ μὲν γὰρ ἔσκωπτον· οἱ δ' ὑπὲρ τῶν λαφύρων ἐν παιδιᾷ ἐβάλλοντο κλῆρον. Τῶν δὲ στρατηγῶν καὶ βασι-

НБ ОНУ імені І.І. Мечникова

λέων ἕκαστος ᾐτεῖτο προσιὼν, αὐτοῦ μόνου γενέσθαι τὸ ἔργον, ἐκεῖνον δὲ καθέζεσθαι θεατήν. Βουλόμενος δέ τι καὶ αὐτὸς ὁ Τιγράνης χαρίεις εἶναι καὶ σκωπτικὸς, εἶπε τὸ θρυλλούμενον· „Εἰ μὲν ὡς πρεσβευταὶ, πολλοὶ πάρεισιν· εἰ δ᾽ ὡς στρατιῶται, ὀλίγοι.“ Καὶ τότε μὲν οὕτως εἰρωνευόμενοι καὶ παίζοντες διετέλεσαν. Ἅμα δ᾽ ἡμέρᾳ Λούκουλλος ὡπλισμένην τὴν δύναμιν ἐξῆγε. Καὶ πρὸς ἕω μὲν ἦν τοῦ ποταμοῦ τὸ βαρβαρικὸν στράτευμα· τοῦ δὲ ῥεύματος ἀποστροφὴν λαμβάνοντος ἐπὶ τὰς δύσεις, ᾗ μάλιστα περάσιμον ἦν, ἀντιπαρεξάγων τὴν δύναμιν, καὶ σπεύδων, ἔδοξεν ἀποχωρεῖν τῷ Τιγράνῃ. Καὶ καλέσας τὸν Ταξίλην, ἅμα γέλωτι· „Τοὺς ἀμάχους (ἔφη) Ῥωμαίων ὁπλίτας οὐχ ὁρᾷς φεύγοντας;“ Καὶ ὁ Ταξίλης· „Βουλοίμην ἂν (εἶπεν), ὦ βασιλεῦ, γενέσθαι τι τῷ σῷ δαίμονι τῶν παραλόγων· ἀλλ᾽ οὔτ᾽ ἐσθῆτα λαμπρὰν οἱ ἄνδρες λαμβάνουσιν ὁδοιποροῦντες, οὔτε θυρεοῖς ἐκκεκαθαρμένοις χρῶνται, καὶ κράνεσι γυμνοῖς, ὥσπερ νῦν τὰ σκύτινα τῶν ὅπλων σκεπάσματα περισπάσαντες· ἀλλὰ μαχουμένων ἐστὶν ἡ λαμπρότης αὕτη, καὶ βαδιζόντων ἤδη πρὸς τοὺς πολεμίους.“ Ταῦτα λέγοντος ἔτι τοῦ Ταξίλου, καταφανὴς ἦν πρῶτος ἀετὸς ἐπιστρέφοντος τοῦ Λουκούλλου, καὶ τάξιν αἱ σπεῖραι κατὰ λόχους λαμβάνουσαι πρὸς τὴν διάβασιν· καὶ μόλις, ὥσπερ ἐκ μέθης τινὸς ἀναφέρων ὁ Τιγράνης, δὶς, ἢ τρὶς ἐξέκραγεν· „Ἐφ᾽ ἡμᾶς οἱ ἄνδρες;“ ὥστε θορύβῳ πολλῷ τὸ πλῆθος εἰς τάξιν καθίστασθαι, βασιλέως

μὲν αὐτοῦ τὸ μέσον ἔχοντος, τῶν δὲ κεράτων τὸ μὲν ἀριστερὸν τῷ Ἀδιαβηνῷ, τὸ δὲ δεξιὸν τῷ Μήδῳ παραδόντος· ἐφ' οὗ καὶ τῶν καταφράκτων ἐν προτάγματι τὸ πλεῖστον ἦν. Λουκούλλῳ δὲ μέλλοντι διαβαίνειν τὸν ποταμὸν ἔνιοι τῶν ἡγεμόνων παρῄνουν φυλάττεσθαι τὴν ἡμέραν, μίαν οὖσαν τῶν ἀποφράδων, ἃς μελαίνας καλοῦσιν· ἐν ἐκείνῃ γὰρ τῇ ἡμέρᾳ ἡ μετὰ Καιπίωνος ἀπώλετο στρατιά, συμβαλοῦσα Κίμβροις. Ὁ δ' ἀπεκρίνατο τὴν μνημονευομένην φωνήν· „Ἐγὼ (γὰρ ἔφη) καὶ ταύτην εὐτυχῆ ποιήσω Ῥωμαίοις τὴν ἡμέραν." Ἦν δὲ ἡ πρὸ μιᾶς νωνῶν Ὀκτωβρίων.

XXVIII. Ταῦτα δ' εἰπών, καὶ θαῤῥεῖν κελεύσας, τόν τε ποταμὸν διέβαινε, καὶ πρῶτος ἐπὶ τοὺς πολεμίους ἡγεῖτο, θώρακα μὲν ἔχων σιδηροῦν φολιδωτὸν ἀποστίλβοντα, κροσσωτὴν δὲ ἐφεστρίδα· τὸ δὲ ξίφος αὐτόθεν ὑποφαίνων γυμνόν, ὡς εὐθὺς εἰς χεῖρας ἴεσθαι δέον ἑκηβόλοις ἀνδράσι, καὶ συναιρεῖν τὴν διατοξεύσιμον χώραν τῷ τάχει τῆς ἐπαγωγῆς. Ἐπεὶ δὲ τὴν κατάφρακτον ἵππον, ἧς πλεῖστος ἦν λόγος, κατεῖδε κατατεταγμένην ὑπὸ λόφῳ τινί, τὴν ἄνω χώραν ἐπίπεδον καὶ πλατεῖαν ἔχοντι, πρόσβασιν δὲ τεττάρων σταδίων οὐ παντάπασι χαλεπήν, οὐδ' ἀποκεκομμένην, Θρᾷκας μὲν ἱππεῖς καὶ Γαλάτας, οὓς εἶχεν, ἐκέλευσεν ἐκ πλαγίου προσφερομένους παρακρούεσθαι ταῖς μαχαίραις τοὺς κοντούς. Μία γὰρ ἀλκὴ τῶν καταφράκτων, κοντός· ἄλλο δ' οὐδὲν οὔθ' ἑαυτοῖς, οὔτε τοῖς πολεμίοις, χρῆσθαι

δύνανται, διὰ βάρος καὶ σκληρότητα τῆς σκευῆς, ἀλλ' ἐγκατῳκοδομημένοις ἐοίκασιν. Αὐτὸς δὲ δύο σπείρας ἀναλαβὼν, ἡμιλλᾶτο πρὸς τὸν λόφον, ἐῤῥωμένως ἑπομένων τῶν στρατιωτῶν, διὰ τὸ κἀκεῖνον ἐν τοῖς ὅπλοις ὁρᾷν πρῶτον κακοπαθοῦντα πεζὸν καὶ προσβιαζόμενον. Γενόμενος δ' ἄνω, καὶ στὰς ἐν τῷ περιφανεῖ τοῦ χωρίου, μέγα βοήσας· „Νενικήκαμεν (ἔφη), νενικήκαμεν, ὦ συστρατιῶται.“ Καὶ τοῦτ' εἰπὼν, ἐπῆγε τοῖς καταφράκτοις, καὶ κελεύσας μηδὲν ἔτι χρῆσθαι τοῖς ὑσσοῖς, ἀλλ' ἐκ χειρὸς ἕκαστον διαλαβόντα παίειν τῶν πολεμίων κνήμας τε καὶ μηροὺς, ἃ μόνα γυμνὰ τῶν καταφράκτων ἐστίν. Οὐ μὴν ἐδέησέ τι ταύτης τῆς μάχης· οὐ γὰρ ἐδέξαντο τοὺς Ῥωμαίους, ἀλλ' ἀλαλάξαντες καὶ φεύγοντες αἴσχιστα πάντων, ἐνέωσαν ἑαυτούς τε καὶ τοὺς ἵππους βαρεῖς ὄντας εἰς τὰ τῶν πεζῶν ὅπλα, πρὶν ἄρξασθαί τινος ἐκείνους μάχης· ὥστε, μήτε τραύματος γενομένου, μήθ' αἵματος ὀφθέντος, ἡττᾶσθαι τὰς τοσαύτας μυριάδας. Ὁ δὲ πολὺς φόνος ἤδη φευγόντων ἐγίνετο, μᾶλλον δὲ βουλομένων φεύγειν. Οὐ γὰρ ἐδύναντο, πυκνότητι καὶ βάθει τῶν τάξεων ὑφ' αὐτῶν ἐμποδιζόμενοι. Τιγράνης δ' ἐξελάσας ἐν ἀρχῇ μετ' ὀλίγων ἔφευγεν, καὶ τὸν υἱὸν ὁρῶν κοινωνοῦντα τῆς αὐτῆς τύχης, περιεσπάσατο τὸ διάδημα τῆς κεφαλῆς, κἀκείνῳ δακρύσας παρέδωκε, σώζειν ἑαυτὸν, ὅπως δύναται, καθ' ἑτέρας ὁδοὺς κελεύσας. Ὁ δὲ νεανίας ἀναδήσασθαι μὲν οὐκ ἐτόλμησε, τῶν δὲ παίδων τῷ πιστοτάτῳ φυλάττειν ἔδωκεν. Οὗτος ἁλοὺς

НБ ОНУ імені І.І. Мечникова

κατὰ τύχην, ἀνήχθη πρὸς Λούκουλλον, ὥστε μετὰ τῶν ἄλλων αἰχμαλώτων καὶ τὸ διάδημα γενέσθαι τὸ Τιγράνου. Λέγεται δὲ, τῶν μὲν πεζῶν ὑπὲρ δέκα μυριάδας διαφθαρῆναι, τῶν δ᾿ ἱππέων ὀλίγους παντάπασι διαφυγεῖν. Ῥωμαίων δ᾿ ἑκατὸν ἐτρώθησαν, ἔπεσον δὲ πέντε. Ταύτης τῆς μάχης Ἀντίοχος ὁ φιλόσοφος ἐν τῇ Περὶ θεῶν γραφῇ μνησθεὶς, οὔ φησιν ἄλλην ἑφεωρακέναι τοιαύτην τὸν ἥλιον. Στράβων δ᾿, ἕτερος φιλόσοφος, ἐν τοῖς ἱστορικοῖς ὑπομνήμασιν, αὐτοὺς λέγει τοὺς Ῥωμαίους αἰσχύνεσθαι καὶ καταγελᾷν ἑαυτῶν, ἐπ᾿ ἀνδράποδα τοιαῦτα δεηθέντας ὅπλων. Λιούϊος δ᾿ εἴρηκεν, ὡς οὐδέποτε Ῥωμαῖοι πολεμίοις, ἀποδέοντες τοσούτῳ πλήθει, παρετάξαντο. Σχεδὸν γὰρ οὐδ᾿ εἰκοστὸν, ἀλλ᾿ ἔλαττον ἐγένοντο μέρος οἱ νικῶντες τῶν ἡσσημένων. Ῥωμαίων δ᾿ οἱ δεινότατοι στρατηγοὶ, καὶ πλεῖστα πολέμοις ὡμιληκότες, ἐπῄνουν μάλιστα τοῦ Λουκούλλου τὸ δύο βασιλεῖς τοὺς ἐπιφανεστάτους καὶ μεγίστους δυσὶ τοῖς ἐναντιωτάτοις, τάχει καὶ βραδύτητι, καταστρατηγῆσαι. Μιθριδάτην μὲν γὰρ ἀκμάζοντα χρόνῳ καὶ τριβῇ κατηνάλωσε· Τιγράνην δὲ τῷ σπεῦσαι συνέτριψεν· ἐν ὀλίγοις τῶν πώποτε ἡγεμόνων, τῇ μελλήσει μὲν ἐνεργῷ, τῇ τόλμῃ δ᾿ ὑπὲρ ἀσφαλείας χρησάμενος.

XXIX. Διὸ καὶ Μιθριδάτης οὐ συνέτεινεν ἐπὶ τὴν μάχην, τῇ συνήθει τὸν Λούκουλλον εὐλαβείᾳ καὶ παραγωγῇ πολεμήσειν οἰόμενος, ἀλλὰ καθ᾿ ἡσυχίαν ἐπορεύετο πρὸς τὸν Τιγράνην. Καὶ πρῶτον μὲν ὀλίγοις τῶν Ἀρμενίων ἐντυχὼν καθ᾿ ὁδὸν, ἐπτοημένοις καὶ

περιφόβοις ἀπιοῦσιν, εἴκασε τὸ πάθος, εἶτ' ἤδη πλειόνων γυμνῶν καὶ τετρωμένων ἀπαντώντων, πυθόμενος τὴν ἧτταν, ἐζήτει τὸν Τιγράνην. Εὑρὼν δὲ πάντων ἔρημον καὶ ταπεινὸν, οὐκ ἀνθύβρισεν, ἀλλὰ καταβὰς καὶ συνδακρύσας τὰ κοινὰ πάθη, θεραπείαν τε τὴν ἑπομένην αὐτῷ βασιλικὴν ἔδωκε, καὶ κατεθάρρυνε πρὸς τὸ μέλλον. Οὗτοι μὲν οὖν αὖθις ἑτέρας δυνάμεις συνῆγον. Ἐν δὲ τῇ πόλει τοῖς Τιγρανοκέρτοις τῶν Ἑλλήνων πρὸς τοὺς βαρβάρους στασιασάντων, καὶ τῷ Λουκούλλῳ τὴν πόλιν ἐνδιδόντων, προσβαλὼν εἷλε· καὶ τοὺς μὲν ἐν τῇ πόλει θησαυροὺς παρελάμβανε, τὴν δὲ πόλιν διαρπάσαι παρέδωκε τοῖς στρατιώταις, μετὰ τῶν ἄλλων χρημάτων ὀκτακισχίλια τάλαντα νομίσματος ἔχουσαν. Χωρὶς δὲ τούτων ὀκτακοσίας δραχμὰς κατ' ἄνδρα διένειμεν ἀπὸ τῶν λαφύρων. Πυνθανόμενος δὲ, πολλοὺς ἐν τῇ πόλει κατειλῆφθαι τῶν περὶ τὸν Διόνυσον τεχνιτῶν, οὓς ὁ Τιγράνης πανταχόθεν ἠθροίκει, μέλλων ἀποδεικνύναι τὸ κατεσκευασμένον ὑπ' αὐτοῦ θέατρον, ἐχρήσατο τούτοις πρὸς τοὺς ἀγῶνας καὶ τὰς θέας τῶν ἐπινικίων. Τοὺς δ' Ἕλληνας εἰς τὰς αὐτῶν πατρίδας ἔπεμψε, προσθεὶς ἐφόδια, καὶ τῶν βαρβάρων ὁμοίως τοὺς ἠναγκασμένους κατοικεῖν. Ὥστε συνέβη, μιᾶς πόλεως διαλυθείσης, πολλὰς ἀνοικίζεσθαι, πάλιν κομιζομένας τοὺς αὐτῶν οἰκήτορας· ὑφ' ὧν ὡς εὐεργέτης ὁ Λούκουλλος καὶ κτίστης ἠγαπᾶτο. Προὐχώρει δὲ καὶ τἄλλα κατ' ἀξίαν τἀνδρὶ, τῶν ἀπὸ δικαιοσύνης καὶ φιλανθρωπίας ἐπαίνων ὀρεγο-

НБ ОНУ імені І. І. Мечникова

μέντοι μᾶλλον, ἢ τῶν ἐπὶ τοῖς πολεμικοῖς κατορθώμασιν. Ἐκείνων μὲν γὰρ οὐκ ὀλίγον ἡ στρατιὰ, καὶ τὸ πλεῖστον ἡ τύχη μετεῖχε· ταῦτα δ' ἦν ἡμέρου ψυχῆς καὶ πεπαιδευμένης ἐπίδειξις, οἷς ὁ Λούκουλλος τότε χωρὶς ὅπλων ἐχειροῦτο τοὺς βαρβάρους. Καὶ γὰρ Ἀράβων βασιλεῖς ἧκον πρὸς αὐτὸν, ἐγχειρίζοντες τὰ σφέτερα, καὶ τὸ Σωφηνῶν ἔθνος προσεχώρει. Τὸ δὲ Γορδυηνῶν οὕτω διέθηκεν, ὥστε βούλεσθαι τὰς πόλεις ἐκλιπόντας ἀκολουθεῖν ἐκείνῳ μετὰ παίδων καὶ γυναικῶν ἐθέλοντας, ἐξ αἰτίας τοιᾶσδε. Ζαρβιηνὸς γὰρ, ὁ τῶν Γορδυηνῶν βασιλεὺς, ὥσπερ εἴρηται, δι' Ἀππίου κρύφα Λουκούλλῳ διείλεκτο περὶ συμμαχίας, τὴν Τιγράνου τυραννίδα βαρυνόμενος. Μηνυθεὶς δ' ἀπεσφάγη, καὶ παῖδες αὐτοῦ καὶ γυνὴ συναπώλοντο, πρὶν ἢ Ῥωμαίους εἰς Ἀρμενίαν ἐμβαλεῖν. Τούτων οὐκ ἠμνημόνησεν ὁ Λούκουλλος, ἀλλὰ παρελθὼν εἰς τὴν Γορδυηνῶν, ταφὰς προὔθετο τοῦ Ζαρβιηνοῦ· καὶ πυρὰν ἐσθῆτι καὶ χρυσῷ βασιλικῷ καὶ τοῖς ἀπὸ Τιγράνου κοσμήσας λαφύροις, αὐτὸς παρὼν ὕφηψε, καὶ χοὰς ἐπήνεγκε μετὰ φίλων καὶ οἰκείων τοῦ ἀνδρὸς, ἑταῖρον ἑαυτοῦ, καὶ Ῥωμαίων σύμμαχον ἀνακαλούμενος. Ἐκέλευσε δὲ καὶ μνημεῖον ἀπὸ χρημάτων συχνῶν αὐτῷ γενέσθαι· πάμπολλα γὰρ εὑρέθη, καὶ χρυσὸς καὶ ἄργυρος ἐν τοῖς Ζαρβιηνοῦ βασιλείοις. Σίτου δ' ἀπέκειντο μυριάδες τριακόσιαι μεδίμνων· ὥστε καὶ τοὺς στρατιώτας ὠφελεῖσθαι, καὶ τὸν Λούκουλλον θαυμάζεσθαι, ὅτι δραχμὴν μίαν ἐκ τοῦ δημοσίου



НБ ОНУ імені І.І. Мечникова

ταμιείου μὴ λαβὼν, αὐτὸν ἐξ αὐτοῦ διώκει τὸν πόλεμον.

XXX. Ἐνταῦθα καὶ παρὰ τοῦ Πάρθων βασιλέως ἧκε πρεσβεία παρ' αὐτὸν, εἰς φιλίαν προκαλουμένου καὶ συμμαχίαν. Ἦν δ' ἀσμένω ταῦτα τῷ Λουκούλλω, καὶ πάλιν ἀντέπεμψε παρ' ἑαυτοῦ πρεσβείαν πρὸς τὸν Πάρθον, οἳ κατεφώρασαν αὐτὸν ἐπαμφοτερίζοντα τῇ γνώμῃ, καὶ μισθὸν αἰτοῦντα κρύφα τοῦ συμμαχῆσαι τῷ Τιγράνῃ τὴν Μεσοποταμίαν. Ὡς οὖν ταῦθ' ὁ Λούκουλλος ᾔσθετο, Τιγράνην μὲν ἔγνω καὶ Μιθριδάτην παρελθεῖν, ὥσπερ ἀνταγωνιστὰς ἀπειρηκότας, ἀποπειρᾶσθαι δὲ τῆς Πάρθων δυνάμεως, καὶ στρατεύειν ἐπ' αὐτούς· καλὸν ἡγούμενος μιᾷ ῥύμῃ πολέμου τρεῖς ἐφεξῆς, ὥσπερ ἀθλητὴς, βασιλεῖς καταπαλαῖσαι, καὶ διὰ τριῶν τῶν ὑπὸ τὸν ἥλιον μεγίστων ἡγεμονιῶν ἀήττητος καὶ νικῶν διεξελθεῖν. Ἔπεμψεν οὖν εἰς Πόντον τοῖς περὶ Σωρνάτιον ἡγεμόσιν, ἐπιστείλας ἄγειν τὴν ἐκεῖ στρατιὰν πρὸς αὐτὸν, ὡς ἐκ τῆς Γορδυηνῆς ἀναβησόμενος. Οἱ δὲ, καὶ πρότερον χαλεποῖς χρώμενοι καὶ δυσπειθέσι τοῖς στρατιώταις, τότε παντελῶς ἀπεκάλυψαν αὐτῶν τὴν ἀκολασίαν, οὐδενὶ τρόπῳ πειθοῦς οὐδ' ἀνάγκης εὑρόμενοι προσαγαγέσθαι, μαρτυρομένους καὶ βοῶντας, ὡς οὐδ' αὐτόθι μενοῦσιν, ἀλλ' οἰχήσονται τὸν Πόντον ἔρημον ἀπολιπόντες. Ταῦτα πρὸς Λούκουλλον ἀπαγγελθέντα καὶ τοὺς ἐκεῖ προσδιέφθειρε στρατιώτας, ἤδη μὲν ὑπὸ πλούτου καὶ τρυφῆς βαρεῖς γεγονότας πρὸς τὴν στρατείαν, καὶ

НБ ОНУ імені І.І. Мечникова

σχολῆς δεομένους· ὡς δὲ τὴν ἐκείνων ἐπύθοντο παῤῥησίαν, ἄνδρας αὐτοὺς ἀπεκάλουν, καὶ μιμητέον αὐτοὺς ἔφασαν εἶναι· πολλὰ γὰρ αὐτοῖς ἄξια σωτηρίας καὶ ἀναπαύσεως κατειργάσθαι.

XXXI. Τοιούτων δὲ καὶ πονηροτέρων ἔτι λόγων αἰσθόμενος ὁ Λούκουλλος, τὴν ἐπὶ Πάρθους στρατείαν ἀφῆκεν, αὖθις δ' ἐπὶ τὸν Τιγράνην ἐβάδιζε, θέρους ἀκμάζοντος. Καὶ τὸν Ταῦρον ὑπερβαλὼν, ἠθύμησε χλωρῶν τῶν πεδίων ἐκφανέντων· τοσοῦτον αἱ ὧραι διὰ τὴν ψυχρότητα τοῦ ἀέρος ὑστερίζουσιν. Οὐ μὴν ἀλλὰ καταβὰς, καὶ δὶς, ἢ τρὶς ἀνατολμήσαντας ἐπ' αὐτὸν τοὺς Ἀρμενίους τρεψάμενος, ἀδεῶς ἐπόρθει τὰς κώμας· καὶ τὸν παρεσκευασμένον τῷ Τιγράνῃ σῖτον ἐξαιρῶν, ἣν αὐτὸς ἐφοβεῖτο, τοῖς πολεμίοις περιέστησεν ἀπορίαν. Ἐπεὶ δὲ προκαλούμενος εἰς μάχην αὐτοὺς, περιταφρεύων τὸν χάρακα, καὶ πορθῶν ἐν ὄψει τὴν χώραν, οὐκ ἐκίνει πεπληγότας πολλάκις, ἀναστὰς ἐβάδιζεν ἐπ' Ἀρτάξατα, τὸ Τιγράνου βασίλειον, ὅπου καὶ παῖδες αὐτῷ νήπιοι καὶ γαμεταὶ γυναῖκες ἦσαν· οὐκ ἂν οἰόμενος ἀμαχεὶ ταῦτα προήσεσθαι τὸν Τιγράνην. Λέγεται δ', Ἀννίβαν τὸν Καρχηδόνιον, Ἀντιόχου καταπολεμηθέντος ὑπὸ Ῥωμαίων, μεταβάντα πρὸς Ἀρτάξαν τὸν Ἀρμένιον, ἄλλων τε πολλῶν εἰσηγητὴν καὶ διδάσκαλον αὐτῷ γενέσθαι χρησίμων, καὶ τῆς χώρας καταμαθόντα τόπον εὐφυέστατον καὶ ἥδιστον, ἀργοῦντα καὶ παρορώμενον, σχῆμα πόλεως ἐν αὐτῷ προϋπογράψασθαι, καὶ τὸν Ἀρτάξαν ἐπαγαγόντα δεῖξαι



НБ ОНУ імені І.І.Мечникова

καὶ παρορμῆσαι πρὸς τὸν οἰκισμόν. Πεισθέντος δὲ τοῦ βασιλέως, καὶ δεηθέντος, ὅπως αὐτὸς ἐπιστατήσῃ τοῦ ἔργου, μέγα τι καὶ πάγκαλον χρῆμα πόλεως ἀναστῆναι, καὶ γενομένην ἐπώνυμον τοῦ βασιλέως, μητρόπολιν ἀποδειχθῆναι τῆς Ἀρμενίας. Ἐπὶ ταύτην τοῦ Λουκούλλου βαδίζοντος, οὐκ ἠνέσχετο Τιγράνης, ἀλλὰ τὴν δύναμιν ἀναλαβὼν, ἡμέρᾳ τετάρτῃ παρεστρατοπέδευσε τοῖς Ῥωμαίοις, ἐν μέσῳ λαβὼν τὸν Ἀρσανίαν ποταμὸν, ὃν ἐξ ἀνάγκης διαβατέον ἦν τοῖς Ῥωμαίοις τὴν ἐπ᾽ Ἀρτάξατα πορευομένοις. Θύσας δὲ τοῖς θεοῖς Λούκουλλος, ὡς ἐν χερσὶν οὔσης τῆς νίκης, διεβίβαζε τὸν στρατὸν, ἐν δώδεκα σπείραις προτεταγμέναις, ταῖς δ᾽ ἄλλαις ἐπιτεταγμέναις διὰ τὰς κυκλώσεις τῶν πολεμίων. Πολλοὶ γὰρ ἦσαν ἱππεῖς καὶ λογάδες ἀντιπαρατεταγμένοι· πρὸ δ᾽ αὐτῶν ἱπποτοξόται Μάρδοι, καὶ λογχοφόροι Ἴβηρες, οἷς μάλιστα τῶν ξένων ὁ Τιγράνης ἐπίστευεν, ὡς μαχιμωτάτοις. Οὐ μὴν ἐπράχθη τι λαμπρὸν ὑπ᾽ αὐτῶν· μικρὰ δὲ τοῖς ἱππεῦσι τῶν Ῥωμαίων διαπληκτισάμενοι, τοὺς πεζοὺς ἐπιόντας οὐχ ὑπέμειναν, ἀλλ᾽ ἑκατέρωσε τῆς φυγῆς σχισθέντες, ἐπεσπάσαντο τοὺς ἱππεῖς πρὸς τὴν δίωξιν. Ἅμα δὲ τῷ τούτους διασπαρῆναι, τῶν περὶ τὸν Τιγράνην ἐξιππασαμένων, ἰδὼν τὴν λαμπρότητα καὶ τὸ πλῆθος ὁ Λούκουλλος ἔδεισε. Καὶ τοὺς μὲν ἱππεῖς ἀπὸ τῆς διώξεως ἀνεκαλεῖτο, πρῶτος δ᾽ αὐτὸς ἀντέστη τοῖς Ἀτροπατηνοῖς κατ᾽ αὐτὸν οὖσι μετὰ τῶν ἀρίστων, καὶ πρὶν εἰς χεῖρας ἐλθεῖν, φοβήσας ἐτρέψατο. Τρι-

НБ ОНУ імені І.І. Мечникова

ῶν δ᾽ ὁμοῦ παρατεταγμένων βασιλέων, αἴσχιστα δοκεῖ φυγεῖν ὁ Ποντικὸς Μιθριδάτης, οὐδὲ τὴν κραυγὴν τῶν Ῥωμαίων ἀνασχόμενος. Γενομένης δὲ τῆς διώξεως μακρᾶς, καὶ δι᾽ ὅλης νυκτὸς, οὐ μόνον κτείνοντες αὐτοὺς, ἀλλὰ καὶ ζωγροῦντες, καὶ χρήματα καὶ λείαν ἄγοντες καὶ φέροντες ἀπεῖπον οἱ Ῥωμαῖοι. Φησὶ δ᾽ ὁ Λιούϊος, ἐν μὲν τῇ προτέρᾳ μάχῃ πλείονας, ἐν δὲ ταύτῃ γνωριμωτέρους πεσεῖν καὶ ληφθῆναι τῶν πολεμίων.

XXXII. Ἐκ τούτου Λούκουλλος μὲν ἐπηρμένος καὶ τεθαῤῥηκὼς ἄνω προάγειν διενοεῖτο καὶ καταστρέφεσθαι τὸν βάρβαρον· ὥρᾳ δ᾽ ἰσημερίας φθινοπωρινῆς οὐκ ἂν ἐλπίσαντι χειμῶνες ἐπέπεσον βαρεῖς, τὰ μὲν πλεῖστα κατανίφοντες, ἐν δὲ ταῖς αἰθρίαις πάχνην ἐπιφέροντες καὶ πάγον, ὑφ᾽ οὗ χαλεποὶ μὲν ἦσαν οἱ ποταμοὶ τοῖς ἵπποις πίνεσθαι, διὰ ψυχρότητος ὑπερβολὴν, χαλεπαὶ δ᾽ αὐτῶν αἱ διαβάσεις, ἐκρηγνυμένου τοῦ κρυστάλλου καὶ διακόπτοντος τὰ νεῦρα τῶν ἵππων τῇ τραχύτητι. Τῆς δὲ χώρας ἡ πολλὴ συνηρεφὴς οὖσα καὶ στενόπορος καὶ ὑλώδης, ἀεὶ καθύγραινεν αὐτοὺς, χιόνος ἀναπιμπλαμένους ἐν ταῖς ὁδοιπορίαις, καὶ κακῶς ἐν τόποις νοτεροῖς νυκτερεύοντας. Οὐ πολλὰς οὖν ἡμέρας ἀκολουθήσαντες τῷ Λουκούλλῳ μετὰ τὴν μάχην, ἠναντιοῦντο, πρῶτον δεόμενοι καὶ τοὺς χιλιάρχους προσπέμποντες, ἔπειτα θορυβωδέστερον συνιστάμενοι, καὶ κατὰ σκηνὰς νυκτὸς ἀλαλάζοντες· ὅπερ εἶναι δοκεῖ σύμβολον ἀποστατικῶς ἐχούσης στρατιᾶς. Καίτοι πολλὰ προσελιπάρει

НБ ОНУ імені І.І.Мечникова

Λούκουλλος, ἀξιῶν αὐτοὺς μακροθυμίαν ἐμβαλέσθαι ταῖς ψυχαῖς, ἄχρις οὗ τὴν ἐν Ἀρμενίοις Καρχηδόνα λαβόντες, ἀνδρὸς ἐχθίστου, τὸν Ἀννίβαν λέγων, ἔργον ἀνατρέψωσιν. Ὡς δ' οὐκ ἔπειθεν, ἀπῆγεν αὐτοὺς ὀπίσω, καὶ κατ' ἄλλας ὑπερβολὰς διελθὼν τὸν Ταῦρον, εἰς τὴν λεγομένην Μυγδονικὴν κατέβαινε χώραν, πάμφορον καὶ ἀλεεινὴν, καὶ πόλιν ἐν αὐτῇ μεγάλην καὶ πολυάνθρωπον ἔχουσαν, ἣν οἱ μὲν βάρβαροι Νίσιβιν, οἱ δ' Ἕλληνες Ἀντιόχειαν Μυγδονικὴν προσηγόρευον. Ταύτην εἶχεν ἀξιώματι μὲν ἀδελφὸς Τιγράνου, Γούρας, ἐμπειρίᾳ δὲ καὶ δεινότητι μηχανικῇ Καλλίμαχος, ὁ καὶ περὶ Ἀμισὸν πλεῖστα πράγματα Λουκούλλῳ παρασχών. Βαλόμενος δὲ στρατόπεδον, καὶ πᾶσαν ἰδέαν πολιορκίας ἐπαγαγὼν, ὀλίγῳ χρόνῳ κατὰ κράτος λαμβάνει τὴν πόλιν. Καὶ Γούρᾳ μὲν ἑαυτὸν ἐγχειρίσαντι φιλανθρώπως ἐχρήσατο· Καλλιμάχῳ δὲ, ὑπισχνουμένῳ θήκας ἀποῤῥήτους μεγάλων χρημάτων ἀνακαλύψειν, οὐ προσέσχεν, ἀλλ' ἐκέλευσεν ἐν πέδαις κομίζεσθαι, δίκην ὑφέξοντα τοῦ πυρὸς, ᾧ τὴν Ἀμισηνῶν διαλυμηνάμενος πόλιν, ἀφείλετο φιλοτιμίαν αὐτοῦ καὶ χρηστότητος ἐπίδειξιν πρὸς τοὺς Ἕλληνας.

XXXIII. Μέχρι τοῦδε φαίη τις ἂν Λουκούλλῳ τὴν τύχην ἑπομένην συστρατηγεῖν. Ἐντεῦθεν δ', ὥσπερ πνεύματος ἐπιλιπόντος, προσβιαζόμενος πάντα, καὶ παντάπασιν ἀντικρούων, ἀρετὴν μὲν ἐπεδείκνυτο καὶ μακροθυμίαν ἡγεμόνος ἀγαθοῦ, δόξαν δὲ καὶ χάριν οὐδεμίαν αἱ πράξεις ἔσχον· ἀλλὰ καὶ τὴν

προϋπάρχουσαν ἐγγὺς ἦλθε, δυσπραγῶν καὶ διαφερόμενος μάτην, ἀποβαλεῖν. Τῶν δ' αἰτιῶν αὐτὸς οὐχὶ τὴν ἐλαχίστην εἰς τοῦτο παρέσχεν, οὐκ ὢν θεραπευτικὸς πλήθους στρατιωτικοῦ, καὶ πᾶν τὸ πρὸς ἡδονὴν τοῦ ἀρχομένου γινόμενον, ἀρχῆς ἀτιμίαν καὶ κατάλυσιν ἡγούμενος· τὸ δὲ μέγιστον, οὐδὲ τοῖς δυνατοῖς καὶ ἰσοτίμοις εὐάρμοστος εἶναι πεφυκὼς, ἀλλὰ πάντων καταφρονῶν, καὶ μηδενὸς ἀξίους πρὸς αὑτὸν ἡγούμενος. Ταῦτα γὰρ ὑπάρξαι Λουκούλλῳ κακὰ λέγουσιν ἐν πᾶσι τοῖς ἄλλοις ἀγαθοῖς. Καὶ γὰρ μέγας, καὶ καλὸς, καὶ δεινὸς εἰπεῖν, καὶ φρόνιμος ὁμαλῶς ἐν ἀγορᾷ καὶ στρατοπέδῳ δοκεῖ γενέσθαι. Σαλούστιος μὲν οὖν φησι, χαλεπῶς διατεθῆναι τοὺς στρατιώτας πρὸς αὐτὸν, εὐθὺς ἐν ἀρχῇ τοῦ πολέμου πρὸς Κυζίκῳ, καὶ πάλιν πρὸς Ἀμισῷ, δύο χειμῶνας ἑξῆς ἐν χάρακι διαγαγεῖν ἀναγκασθέντας. Ἠνίων δ' αὐτοὺς καὶ οἱ λοιποὶ χειμῶνες. Ἢ γὰρ ἐν τῇ πολεμίᾳ διεχείμαζον, ἢ παρὰ τοῖς συμμάχοις, ὕπαιθροι σκηνοῦντες· εἰς δὲ πόλιν Ἑλληνίδα καὶ φίλην οὐδ' ἅπαξ εἰσῆλθε μετὰ στρατοπέδου Λούκουλλος. Οὕτω δὲ διακειμένοις αὐτοῖς τὰς μεγίστας ἐνέδωκαν ἀπὸ τῆς Ῥώμης οἱ δημαγωγοὶ προφάσεις, φθόνῳ τοῦ Λουκούλλου κατηγοροῦντες, ὡς ὑπὸ φιλαρχίας καὶ φιλοπλουτίας ἕλκοντος τὸν πόλεμον, καὶ μονονοὺ κατέχοντος ἐν ταὐτῷ Κιλικίαν, Ἀσίαν, Βιθυνίαν, Παφλαγονίαν, Γαλατίαν, Πόντον, Ἀρμενίαν, τὰ μέχρι Φάσιδος· νῦν δὲ καὶ τὰ Τιγράνου βασίλεια πεπορθηκότος, ὥσπερ ἐκδῦσαι τοὺς βασιλεῖς οὐ

καταπολεμῆσαι πεμφθέντος. Τοῦτο γὰρ εἰπεῖν φασιν ἕνα τῶν στρατηγῶν Λεύκιον Κοΐντιον· ὑφ' οὗ μάλιστα πεισθέντες, ἐψηφίσαντο πέμπειν διαδόχους τῷ Λουκούλλῳ τῆς ἐπαρχίας. Ἐψηφίσαντο δὲ καὶ τῶν ὑπ' αὐτῷ στρατευομένων πολλοὺς ἀφεῖσθαι στρατείας.

XXXIV. Τούτοις δὲ τηλικούτοις οὖσι προσγίνεται τὸ μάλιστα Λουκούλλῳ διειργασμένον τὰς πράξεις, Πόπλιος Κλώδιος, ἀνὴρ ὑβριστὴς καὶ μεστὸς ὀλιγωρίας ἁπάσης καὶ θρασύτητος. Ἦν δὲ τῆς Λουκούλλου γυναικὸς ἀδελφὸς, ἣν καὶ διαφθείρειν ἔσχεν αἰτίαν, ἀκολαστοτάτην οὖσαν. Τότε δὲ τῷ Λουκούλλῳ συστρατεύων, οὐχ, ὅσης αὐτὸν ἠξίου, τιμῆς ἐτύγχανεν· ἠξίου δὲ πρῶτος εἶναι, καὶ πολλῶν ἀπολειπόμενος διὰ τὸν τρόπον, ὑποικούρει τὴν Φιμβριανὴν στρατιὰν, καὶ παρώξυνε κατὰ τοῦ Λουκούλλου, λόγους χρηστοὺς εἰς οὐκ ἄκοντας, οὐδ' ἀήθεις τοῦ δημαγωγεῖσθαι, διαδιδούς. Οὗτοι γὰρ ἦσαν, οὓς καὶ πρότερον ἀνέπεισε Φιμβρίας, ἀποκτείναντας τὸν ὕπατον Φλάκκον, αὐτὸν ἑλέσθαι στρατηγόν. Δι' ὃ καὶ τὸν Κλώδιον ἡδέως ἐδέχοντο, καὶ φιλοστρατιώτην προσηγόρευον, ἀγανακτεῖν προσποιούμενον ὑπὲρ αὐτῶν, εἰ πέρας οὐδὲν ἔσται πολέμων τοσούτων καὶ πόνων, ἀλλὰ παντὶ μὲν ἔθνει μαχόμενοι, πᾶσαν δὲ γῆν πλανώμενοι κατατρίψουσι τὸν βίον· οὐδὲν ἄξιον ἐκ τηλικαύτης φερόμενοι στρατείας, ἀλλὰ τὰς Λουκούλλου παραπέμποντες ἁμάξας καὶ καμήλους, ἐκπωμάτων χρυσῶν καὶ διαλίθων γεμούσας. Οἱ δὲ

НБ ОНУ імені І. І. Мечникова

Πομπηΐου στρατιῶται, δῆμος ὄντες, ἤδη που μετὰ γυναικῶν καὶ τέκνων κάθηνται γῆν εὐδαίμονα καὶ πόλεις ἔχοντες, οὐ Μιθριδάτην καὶ Τιγράνην εἰς τὰς ἀοικήτους ἐμβαλόντες ἐρημίας, οὐδὲ τῆς Ἀσίας τὰ βασίλεια καταῤῥίψαντες, ἀλλὰ φυγάσιν ἀνθρώποις ἐν Ἰβηρίᾳ, καὶ δραπέταις ἐν Ἰταλίᾳ, πολεμήσαντες. Τί οὖν, εἰ δεῖ μηδέποτε παύσασθαι στρατευομένους, οὐχὶ τοιούτῳ στρατηγῷ καὶ σώματα τὰ λοιπὰ καὶ ψυχὰς φυλάσσομεν, ᾧ κάλλιστος εἶναι δοκεῖ κόσμος ὁ τῶν στρατευομένων πλοῦτος; Τοιαύταις αἰτίαις τὸ Λουκούλλου στράτευμα διαφθαρὲν, οὔτ᾽ ἐπὶ Τιγράνην ἠκολούθησεν, οὔτ᾽ ἐπὶ Μιθριδάτην, αὖθις ἐξ Ἀρμενίας εἰς Πόντον ἐμβαλόντα, καὶ τὴν ἀρχὴν ἀναλαμβάνοντα. Πρόφασιν δὲ τὸν χειμῶνα ποιούμενοι, περὶ τὴν Γορδυηνὴν διέτριβον, ὅσον οὔπω Πομπήϊον, ἤ τιν᾽ ἄλλον τῶν ἡγεμόνων, Λουκούλλῳ διάδοχον ἀφίξεσθαι προσδοκῶντες.

XXXV. Ἐπεὶ δὲ Μιθριδάτης ἤγγελτο, Φάβιον νενικηκὼς, ἐπὶ Σωρνάτιον καὶ Τριάριον βαδίζειν, αἰσχυνθέντες εἵποντο τῷ Λουκούλλῳ. Τριάριος δ᾽, ὡς ἕτοιμον ἁρπάσαι τὸ νίκημα, πρὶν ἐπελθεῖν Λούκουλλον, ἐγγὺς ὄντα, φιλοτιμούμενος, ἡττᾶται μάχῃ μεγάλῃ. Λέγονται γὰρ ὑπὲρ ἑπτακισχιλίους Ῥωμαίων ἀποθανεῖν, ἐν οἷς ἑκατόνταρχοι μὲν ἑκατὸν πεντήκοντα, χιλίαρχοι δ᾽ εἴκοσι καὶ τέσσαρες. Τὸ δὲ στρατόπεδον εἷλε Μιθριδάτης. Ἐπελθὼν δὲ Λούκουλλος ὀλίγαις ὕστερον ἡμέραις, Τριάριον μὲν ὑπὸ τῶν στρατιωτῶν ζητούμενον πρὸς ὀργὴν ἐξέκλεψε,

Μιθριδάτου δὲ μὴ θέλοντος μάχεσθαι, ἀλλὰ Τιγράνην περιμένοντος, ἤδη καταβαίνοντα μετὰ πολλῆς δυνάμεως, ἔγνω, πρὶν ἀμφοτέρους συνελθεῖν, πάλιν ἀπαντῆσαι καὶ διαγωνίσασθαι πρὸς τὸν Τιγράνην. Πορευομένῳ δ' αὐτῷ καθ' ὁδὸν οἱ Φιμβριανοὶ στασιάσαντες, ἀπέλιπον τὰς τάξεις, ὡς ἀφειμένοι δόγματι τῆς στρατείας, καὶ μηκέτι τῷ Λουκούλλῳ προσῆκον ἄρχειν, ἑτέροις ἀποδεδειγμένων τῶν ἐπαρχιῶν. Οὐδὲν οὖν ἐστιν ὅ τι τῶν παρ' ἀξίαν ὁ Λούκουλλος οὐχ ὑπέμεινεν, ἀντιβολῶν καθ' ἕνα, καὶ κατὰ σκηνὰς περιϊὼν, ταπεινὸς καὶ δεδακρυμένος, ἔστι δ' ὧν καὶ χειρὸς ἁπτόμενος. Οἱ δ' ἀπετρίβοντο τὰς δεξιώσεις, καὶ κενὰ προσερρίπτουν βαλάντια, καὶ μόνον μάχεσθαι τοῖς πολεμίοις ἐκέλευον, ἀφ' ὧν μόνος ἠπίστατο πλουτεῖν. Οὐ μὴν ἀλλὰ, τῶν ἄλλων στρατιωτῶν δεομένων, ἐκβιασθέντες οἱ Φιμβριανοὶ, συνέθεντο παραμεῖναι τὸ θέρος· ἐὰν δὲ μηδεὶς ἐν τῷ χρόνῳ τούτῳ κατίῃ πρὸς αὐτοὺς ἀγωνιούμενος, ἀπηλλάχθαι. Ταῦτ' ἔδει στέργειν ἐξ ἀνάγκης τὸν Λούκουλλον, ἢ προέσθαι τοῖς βαρβάροις τὴν χώραν ἀπολειφθέντα. Συνεῖχεν οὖν αὐτοὺς οὐκέτι προσβιαζόμενος, οὐδὲ προάγων πρὸς μάχην, ἀλλ' εἰ παραμένοιεν ἀγαπῶν, καὶ περιορῶν πορθουμένην ὑπὸ τοῦ Τιγράνου τὴν Καππαδοκίαν, καὶ πάλιν ὑβρίζοντα Μιθριδάτην, ὃν αὐτὸς ἐπεστάλκει τῇ συγκλήτῳ γράφων καταπεπολεμῆσθαι· καὶ οἱ πρέσβεις παρῆσαν αὐτῷ πρὸς τὴν διάθεσιν τῶν ἐν Πόντῳ πραγμάτων, ὡς ἤδη βεβαίως ἐχομένων. Καὶ δὴ

παρόντες ἑώρων οὐδ᾽ αὑτοῦ κύριον, ἀλλὰ παροινούμενον καὶ προπηλακιζόμενον ὑπὸ τῶν στρατιωτῶν. Οἵς γε τοσοῦτο περιῆν τῆς εἰς τὸν στρατηγὸν ἀσελγείας, ὥστε, τοῦ θέρους λήγοντος, ἐνδύντες τὰ ὅπλα καὶ σπασάμενοι τὰς μαχαίρας, προεκαλοῦντο τοὺς μηδαμοῦ παρόντας, ἀλλ᾽ ἀπηρκότας ἤδη πολεμίους. Ἀλαλάξαντες δὲ καὶ σκιαμαχήσαντες ἀπεχώρησαν ἐκ τοῦ χάρακος, ἐπιμαρτυράμενοι πεπληρῶσθαι τὸν χρόνον, ὃν ὡμολόγησαν τῷ Λουκούλλῳ παραμενεῖν. Τοὺς δ᾽ ἄλλους ἐκάλει διὰ γραμμάτων Πομπήϊος· ἤδη γὰρ ἀποδέδεικτο τοῦ πρὸς Μιθριδάτην καὶ Τιγράνην πολέμου στρατηγὸς, χάριτι τοῦ δήμου καὶ κολακείᾳ τῶν δημαγωγῶν. Ἐπεὶ τῇ γε βουλῇ καὶ τοῖς ἀρίστοις ἄδικα πάσχειν ἐδόκει Λούκουλλος, οὐ πολέμου διαδόχους, ἀλλὰ θριάμβου λαμβάνων, οὐδὲ τῆς στρατηγίας ἀναγκαζόμενος, ἀλλὰ τῶν ἐπάθλων τῆς στρατηγίας, ἐξίστασθαι καὶ παραχωρεῖν ἑτέροις.

XXXVI. Ἔτι δὲ μᾶλλον ἐφάνη τὸ γινόμενον τοῖς ἐκεῖ παροῦσι νεμεσητόν. Οὔτε γὰρ τιμῆς ὁ Λούκουλλος, οὔτε τιμωρίας τῶν ἐν πολέμῳ κύριος ὑπῆρχεν· οὐδ᾽ εἴα τινὰ Πομπήϊος βαδίζειν πρὸς αὐτὸν, οὐδὲ προσέχειν, οἷς ἐκεῖνος ἔγραφε καὶ διένεμε μετὰ τῶν δέκα πρέσβεων· ἀλλ᾽ ἐκώλυεν, ἐκτιθεὶς διαγράμματα, καὶ φοβερὸς παρὼν ἀπὸ μείζονος δυνάμεως. Ὅμως δ᾽ ἔδοξε τοῖς φίλοις συναγαγεῖν αὐτούς· καὶ συνῆλθον ἐν κώμῃ τινὶ τῆς Γαλατίας, καὶ προσεῖπον ἀλλήλους φιλοφρόνως, καὶ συνήσθησαν ἐπὶ τοῖς κα-

НБ ОНУ імені І.І. Мечникова

τωρθωμένοις ἑκατέρῳ· πρεσβύτερος μὲν ὢν ὁ Λούκουλλος, ἀξίωμα δ' ἦν τὸ Πομπηΐου μεῖζον, ἀπὸ πλειόνων στρατηγιῶν καὶ δυοῖν θριάμβων. Ῥάβδοι δ' ἀμφοτέρων προηγοῦντο δαφνηφόροι διὰ τὰς νίκας. Καὶ τοῦ γε Πομπηΐου, μακρὰν ὁδὸν διὰ τόπων ἀνύδρων καὶ αὐχμηρῶν ὁδεύσαντος, τὰς δάφνας ξηρὰς περικειμένας ταῖς ῥάβδοις ἰδόντες οἱ τοῦ Λουκούλλου ῥαβδοφόροι, φιλοφρονούμενοι τοῖς ἐκείνου μετέδωκαν ἐκ τῶν ἰδίων, προσφάτους καὶ θαλερὰς ἔχοντες. Καὶ τὸ γινόμενον εἰς οἰωνὸν ἐτίθεντο χρηστὸν οἱ Πομπηΐου φίλοι. Τῷ γὰρ ὄντι τὴν ἐκείνου στρατηγίαν αἱ τούτου πράξεις ἐκόσμησαν. Ἐκ δὲ τῶν λόγων πρὸς οὐδὲν ἐπιεικὲς συνέβησαν, ἀλλ' ἔτι μᾶλλον ἀλλοτριωθέντες πρὸς ἀλλήλους ἀπῆλθον, καὶ τὰς ὑπὸ Λουκούλλου γενομένας διατάξεις ἠκύρωσεν ὁ Πομπήϊος· στρατιώτας δὲ τοὺς ἄλλους ἀπαγαγὼν, μόνους αὐτῷ χιλίους ἑξακοσίους ἀπέλιπε συνθριαμβεύσοντας, οὐδὲ τούτους μάλα προθύμως ἑπομένους. Οὕτω τις ἦν ἀφυὴς, ἢ δυστυχὴς, ὁ Λούκουλλος πρὸς τὸ πάντων ἐν ἡγεμονίᾳ πρῶτον καὶ μέγιστον· ὡς, εἰ τοῦτο μετὰ τῶν ἄλλων ὑπῆρξεν αὐτῷ, τηλικούτων ὄντων καὶ τοσούτων, μετ' ἀνδρείας, ἐπιμελείας, συνέσεως, δικαιοσύνης, οὐκ ἂν εἶχεν ἡ Ῥωμαίων ἡγεμονία τὸν Εὐφράτην τῆς Ἀσίας ὅρον, ἀλλὰ τὰ ἔσχατα, καὶ τὴν Ὑρκανίαν θάλασσαν, τῶν μὲν ἄλλων ἐθνῶν Τιγράνῃ προηττημένων, τῆς δὲ Πάρθων δυνάμεως, οὐχ ὅση κατὰ Κράσσον ἐξεφάνη, τοσαύτης κατὰ Λούκουλλον οὔσης, οὐδ' ὁμοίως συνεστω-

НБ ОНУ імені І.І. Мечникова

σης, ἀλλ' ὑπ' ἐμφυλίων καὶ προσοίκων πολέμων οὐδ' Ἀρμενίους ὑβρίζοντας ἐῤῥωμένης ἀμύνεσθαι. Νῦν δέ μοι δοκεῖ Λούκουλλος, ὧν ὠφέλησε δι' αὑτοῦ τὴν πατρίδα, βλάψαι μείζονα δι' ἑτέρων. Τὰ γὰρ ἐν Ἀρμενίᾳ τρόπαια Πάρθων πλησίον ἑστῶτα, καὶ Τιγρανόκερτα, καὶ Νίσιβις, καὶ πλοῦτος ἐκ τούτων πολὺς εἰς Ῥώμην κομισθεὶς, καὶ τὸ Τιγράνου διάδημα πομπευθὲν αἰχμάλωτον, ἐπῆρε Κράσσον ἐπὶ τὴν Ἀσίαν, ὡς λάφυρα καὶ λείαν τοὺς βαρβάρους, ἄλλο δ' οὐδὲν ὄντας. Ταχὺ μέντοι τοῖς Πάρθων τοξεύμασιν ἐντυχὼν, ἀπέδειξε τὸν Λούκουλλον οὐκ ἀφροσύνῃ καὶ μαλακίᾳ τῶν πολεμίων, αὑτοῦ δὲ τόλμῃ καὶ δεινότητι περιγενόμενον. Ἀλλὰ ταῦτα μὲν ὕστερον.

XXXVII. Ὁ δὲ Λούκουλλος, ἀναβὰς εἰς Ῥώμην, πρῶτον μὲν κατέλαβε τὸν ἀδελφὸν Μάρκον ὑπὸ Γαΐου Μεμμίου κατηγορούμενον, ἐφ' οἷς ἔπραξε ταμιεύων, Σύλλα προστάξαντος. Ἐκείνου δ' ἀποφυγόντος, ἐπὶ τοῦτον αὐτὸν ὁ Μέμμιος μεταβαλόμενος παρώξυνε τὸν δῆμον, καὶ ὡς πολλὰ νενοσφισμένῳ καὶ μηκύναντι τὸν πόλεμον ἔπεισεν αὐτῷ μὴ δοῦναι θρίαμβον. Ἐλθόντος δ' εἰς ἀγῶνα τοῦ Λουκούλλου μέγαν, οἱ πρῶτοι καὶ δυνατώτατοι καταμίξαντες ἑαυτοὺς ταῖς φυλαῖς, πολλῇ δεήσει καὶ σπουδῇ μόλις ἔπεισαν τὸν δῆμον ἐπιτρέψαι θριαμβεῦσαι, οὐχ ὥσπερ ἔνιοι, μήκει τε πομπῆς, καὶ πλήθει τῶν κομιζομένων, ἐκπληκτικὸν καὶ ὀχλώδη θρίαμβον· ἀλλὰ τοῖς ὅπλοις τῶν πολεμίων οὖσι παμπόλλοις καὶ τοῖς βασιλικοῖς μηχανήμασι τὸν Φλαμίνειον ἱππόδρομον διεκόσμησε

НБ ОНУ імені І.І. Мечникова

καὶ θέα τις ἦν αὐτὴ καθ᾽ ἑαυτὴν οὐκ εὐκαταφρόνητος. Ἐν δὲ τῇ πομπῇ, τῶν τε καταφράκτων ἱππέων ὀλίγοι, καὶ τῶν δρεπανηφόρων ἁρμάτων δέκα παρῆλθον· ἑξήκοντα δὲ φίλοι καὶ στρατηγοὶ τῶν βασιλικῶν· μακραὶ δὲ χαλκέμβολοι νῆες ἑκατὸν καὶ δέκα ἅμα παρεκομίσθησαν· αὐτοῦ τε Μιθριδάτου χρύσεος ἑξάπους κολοσσὸς, καὶ θυρεός τις διάλιθος· καὶ φορήματα εἴκοσι μὲν ἀργυρῶν σκευῶν, χρυσῶν δ᾽ ἐκπωμάτων καὶ ὅπλων καὶ νομίσματος, δύο καὶ τριάκοντα. Ταῦτα μὲν οὖν ἄνδρες παρεκόμιζον. Ἡμίονοι δ᾽ ὀκτὼ, κλίνας χρυσᾶς ἔφερον, ἓξ δὲ καὶ πεντήκοντα, κεχωνευμένον ἀργύριον· ἄλλοι δ᾽ ἑκατὸν ἑπτὰ, νομίσματος καὶ ἀργυρίου μικρῷ τινι δεούσας ἑβδομήκοντα καὶ διακοσίας μυριάδας. Ἐν δὲ δέλτοις ἀναγραφαὶ τῶν ἤδη δεδομένων χρημάτων ὑπ᾽ αὐτοῦ Πομπηΐῳ πρὸς τὸν πειρατικὸν πόλεμον, καὶ τοῖς ἐπὶ τοῦ δημοσίου ταμιείου, καὶ χωρὶς, ὅτι στρατιώτης ἕκαστος ἐννακοσίας καὶ πεντήκοντα δραχμὰς ἔλαβεν. Ἐπὶ τούτοις τήν τε πόλιν εἱστίασε λαμπρῶς, καὶ τὰς περιοικίδας κώμας, ἃς οὐίκους καλοῦσι.

XXXVIII. Τῆς δὲ Κλωδίας ἀπηλλαγμένος, οὔσης ἀσελγοῦς καὶ πονηρᾶς, Σερουϊλίαν ἔγημεν, ἀδελφὴν Κάτωνος, οὐδὲ τοῦτον εὐτυχῆ γάμον. Ἓν γὰρ οὐ προσῆν αὐτῷ τῶν Κλωδίας κακῶν μόνον, ἡ τῶν ἀδελφῶν διαβολή· τἆλλα δὲ βδελυρὰν ὁμοίως οὖσαν καὶ ἀκόλαστον ἠναγκάζετο φέρειν, αἰδούμενος Κάτωνα· τέλος δ᾽ ἀπεῖπεν. Ἐλπίδας δὲ θαυμαστὰς τῇ βουλῇ παρασχὼν, ὡς ἐχούσῃ τὸν ἄνδρα τοῦτον ἀν-

τίταγμα πρὸς τὴν Πομπηΐου τυραννίδα, καὶ τῆς ἀριστοκρατίας πρόμαχον, ἀπὸ δόξης καὶ δυνάμεως ὁρμώμενον μεγάλης, ἐγκατέλιπε καὶ προήκατο τὴν πολιτείαν, εἴτε δυσκάθεκτον ἤδη καὶ νοσοῦσαν ὁρῶν, εἴθ᾽, ὥς φασιν ἔνιοι, μεστὸς ὢν δόξης, καὶ πρὸς τὸ ῥᾷστον ἀναπίπτων τοῦ βίου καὶ μαλακώτατον, ἐκ πολλῶν ἀγώνων καὶ πόνων οὐκ εὐτυχέστατον τέλος λαβόντων. Οἱ μὲν γὰρ ἐπαινοῦσιν αὐτοῦ τὴν τοσαύτην μεταβολὴν, τὸ Μαρίου πάθος μὴ παθόντος, ὃς ἐπὶ ταῖς Κιμβρικαῖς νίκαις καὶ τοῖς μεγάλοις καὶ καλοῖς ἐκείνοις κατορθώμασιν οὐκ ἠθέλησεν αὑτὸν ἀναθεῖναι τιμῇ τοσαύτῃ ζηλωτὸν, ἀλλ᾽ ἀπληστίᾳ δόξης καὶ ἀρχῆς, νέοις ἀνδράσι γέρων ἀντιπολιτευόμενος, εἰς ἔργα δεινὰ καὶ πάθη δεινότερα τῶν ἔργων ἐξώκειλε. Βέλτιον δ᾽ ἂν καὶ Κικέρωνα γηρᾶσαι, μετὰ Κατιλίναν, ὑποστειλάμενον, καὶ Σκιπίωνα, Καρχηδόνι προσθέντα Νομαντίαν, εἶτα παυσάμενον· εἶναι γάρ τινα καὶ πολιτικῆς περιόδου κατάλυσιν. Τῶν γὰρ ἀθλητικῶν ἀγώνων τοὺς πολιτικοὺς οὐδὲν ἧττον ἀκμῆς καὶ ὥρας ἀπολιπούσης ἐλέγχεσθαι. Οἱ δὲ περὶ τὸν Κράσσον καὶ Πομπήϊον ἐχλεύαζον τὸν Λούκουλλον, εἰς ἡδονὴν ἀφεικότα καὶ πολυτέλειαν αὑτὸν, ὥσπερ τοῦ τρυφᾶν μᾶλλον τοῖς τηλικούτοις παρ᾽ ἡλικίαν ὄντος, ἢ τοῦ πολιτεύεσθαι καὶ στρατηγεῖν.

XXXIX. Ἔστι δ᾽ οὖν τοῦ Λουκούλλου βίου, καθάπερ ἀρχαίας κωμῳδίας, ἀναγνῶναι τὰ μὲν πρῶτα, πολιτείας καὶ στρατηγίας, τὰ δ᾽ ὕστερα, πό-

τους καὶ δεῖπνα, καὶ μονονουχὶ κώμους καὶ λαμπάδας καὶ παιδιὰν ἅπασαν. Εἰς παιδιὰν γὰρ ἔγωγε τίθεμαι καὶ οἰκοδομὰς πολυτελεῖς, καὶ κατασκευὰς περιπάτων καὶ λουτρῶν, καὶ ἔτι μᾶλλον γραφὰς καὶ ἀνδριάντας, καὶ τὴν περὶ ταύτας τὰς τέχνας σπουδὴν, ἃς ἐκεῖνος συνῆγε μεγάλοις ἀναλώμασιν, εἰς ταῦτα τῷ πλούτῳ ῥύδην καταχρώμενος, ὃν ἠθροίκει πολὺν καὶ λαμπρὸν ἀπὸ τῶν στρατειῶν. Ὅπου καὶ νῦν, ἐπίδοσιν τοιαύτην τῆς τρυφῆς ἐχούσης, οἱ Λουκουλλιανοὶ κῆποι τῶν βασιλικῶν ἐν τοῖς πολυτελεστάτοις ἀριθμοῦνται. Τὰ δ' ἐν τοῖς παραλίοις καὶ περὶ Νέαν πόλιν ἔργα, λόφους ἀνακρεμαννῦντος αὐτοῦ μεγάλοις ὀρύγμασι, καὶ τροχοὺς θαλάσσης, καὶ διαδρομὰς ἰχθυοτρόφους τοῖς οἰκητηρίοις περιελίσσοντος, καὶ διαίτας ἐναλίους κτίζοντος, ὁ Στωϊκὸς Τουβέρων θεασάμενος, Ξέρξην αὐτὸν ἐκ τηβέννου προσηγόρευσεν. Ἦσαν δ' αὐτῷ περὶ Τοῦσκλον ἐγχώριοι δίαιται, καὶ κατασκοπαὶ περίοπτοι, καὶ κατασκευαὶ ἀναπεπταμένων ἀνδρώνων καὶ περιπάτων. Ἐν αἷς ὁ Πομπήϊος γενόμενος, ἐμέμφετο τὸν Λούκουλλον, ὅτι πρὸς θέρος ἄριστα διαθεὶς τὴν ἔπαυλιν, ἀοίκητον ἐν χειμῶνι πεποίηκε. Γελάσας οὖν ἐκεῖνος· „Εἶτα (ἔφη) σοὶ δοκῶ ἐλάττονα τῶν γεράνων νοῦν ἔχειν καὶ τῶν πελαργῶν, ὥστε ταῖς ὥραις μὴ συμμεταβάλλειν τὰς διαίτας;" Στρατηγοῦ δέ ποτε φιλοτιμουμένου περὶ θέας, καὶ χορῷ τινι κόσμον αἰτουμένου πορφυρᾶς χλαμύδας, ἀπεκρίνατο, σκεψάμενος, ἂν ἔχῃ, δώσειν. Εἶτα μεθ' ἡμέραν ἠρώτησε

αὐτὸν, ὁπόσων δέοιτο. Τοῦ δ' ἑκατὸν ἀρκέσειν φήσαντος, ἐκέλευσε λαβεῖν δὶς τοσαύτας. Εἰς ὃ καὶ Φλάκκος ὁ ποιητὴς ἐπιπεφώνηκεν, ὡς οὐ νομίζει πλοῦτον, οὗ μὴ τὰ παρορώμενα καὶ λανθάνοντα πλείονα τῶν φαινομένων ἐστί.

XL. Νεόπλουτα δ' ἦν τοῦ Λουκούλλου τὰ δεῖπνα τὰ καθ' ἡμέραν, οὐ μόνον στρωμναῖς ἁλουργίσι καὶ διαλίθοις ἐκπώμασι καὶ χοροῖς καὶ ἀκροάμασιν ἐπεισοδίοις, ἀλλ' ὄψων τε παντοδαπῶν καὶ πεμμάτων περιττῶς διαπεπονημένων παρασκευαῖς, ζηλωτὸν ἀνελευθέροις ποιοῦντος ἑαυτόν. Ὁ γοῦν Πομπήϊος εὐδοκίμησε νοσῶν, τοῦ μὲν ἰατροῦ κίχλην αὐτὸν λαβεῖν κελεύσαντος· τῶν δ' οἰκετῶν οὐκ ἂν εὑρεῖν ἀλλαχόθι φαμένων θέρους ὥρᾳ κίχλην, ἢ παρὰ Λουκούλλῳ, σιτευομένην, οὐκ εἴασε λαβεῖν ἐκεῖθεν, ἀλλ' εἰπὼν πρὸς τὸν ἰατρόν· „Οὐκοῦν, εἰ μὴ Λούκουλλος ἐτρύφα, Πομπήϊος οὐκ ἂν ἔζησεν;" ἄλλο τι παρασκευάσαι τῶν εὐπορίστων ἐκέλευσε. Κάτων δ' ἦν αὐτῷ φίλος καὶ οἰκεῖος· οὕτω δὲ τὸν βίον αὐτοῦ καὶ τὴν δίαιταν ἐδυσχέραινεν, ὥστε, νέου τινὸς ἐν τῇ βουλῇ λόγον ἐπαχθῆ καὶ μακρὸν ἀκαίρως ὑπὲρ εὐτελείας καὶ σωφροσύνης διελθόντος, ἐπαναστὰς ὁ Κάτων· „Οὐ παύσῃ (ἔφη) σὺ πλουτῶν μὲν, ὡς Κράσσος, ζῶν δ', ὡς Λούκουλλος, λέγων δὲ, ὡς Κάτων," Ἔνιοι δὲ τοῦτο ῥηθῆναι μὲν οὕτως, ὑπὸ Κάτωνος δὲ οὐ λέγουσιν.

XLI. Ὁ μέντοι Λούκουλλος οὐχ ἡδόμενος μόνον, ἀλλὰ καὶ σεμνυνόμενος τῷ βίῳ τούτῳ δῆλος

ἦν ἐκ τῶν ἀπομνημονευομένων. Λέγεται γὰρ Ἕλληνας ἀνθρώπους, ἀναβάντας εἰς Ῥώμην, ἑστιᾷν ἐπὶ πολλὰς ἡμέρας. Τοὺς δ᾽, ὄντως Ἑλληνικόν τι παθόντας, αἰσχύνεσθαι καὶ διωθεῖσθαι τὴν κλῆσιν, ὡς δι᾽ αὐτοὺς καθ᾽ ἡμέραν τοσούτων ἀναλισκομένων. Τὸν οὖν Λούκουλλον εἰπεῖν μειδιάσαντα πρὸς αὐτούς· „Γίνεται μέν τι τούτων καὶ δι᾽ ὑμᾶς, ὦ ἄνδρες Ἕλληνες· τὰ μέντοι πλεῖστα γίνεται διὰ Λούκουλλον.“ Ἐπεὶ δὲ, μόνου δειπνοῦντος αὐτοῦ, μία τράπεζα καὶ μέτριον παρεσκευάσθη δεῖπνον, ἠγανάκτει καλέσας τὸν ἐπὶ τούτῳ τεταγμένον οἰκέτην. Τοῦ δὲ φήσαντος, ὡς οὐκ ᾤετο, μηδενὸς κεκλημένου, πολυτελοῦς τινος αὐτὸν δεήσεσθαι· „Τί λέγεις; (εἶπεν) οὐκ ᾔδεις, ὅτι σήμερον παρὰ Λουκούλλῳ δειπνεῖ Λούκουλλος;“ Ὄντος δὲ περὶ τούτου λόγου πολλοῦ, ὡς εἰκὸς, ἐν τῇ πόλει, προσῆλθον αὐτῷ κατ᾽ ἀγορὰν σχολὴν ἄγοντι Κικέρων καὶ Πομπήϊος, ὁ μὲν ἐν τοῖς μάλιστα φίλος ὢν καὶ συνήθης. Πομπηίῳ δ᾽ ἦν μὲν ἐκ τῆς στρατηγίας διαφορὰ πρὸς αὐτὸν, εἰώθεισαν δὲ χρῆσθαι καὶ διαλέγεσθαι πολλάκις ἐπιεικῶς ἀλλήλοις. Ἀσπασάμενος οὖν ὁ Κικέρων αὐτὸν, ἠρώτησεν, ὅπως ἔχει πρὸς ἔντευξιν· τοῦ δὲ φήσαντος, ὡς ἄριστα, καὶ παρακαλοῦντος ἐντυγχάνειν· „Ἡμεῖς (ἔφη) βουλόμεθα δειπνῆσαι παρά σοι τήμερον οὕτως, ὅπως ἐστί σοι παρεσκευασμένα.“ Θρυπτομένου δὲ τοῦ Λουκούλλου, καὶ μεταλαβεῖν ἡμέραν ἀξιοῦντος, οὐκ ἔφασαν ἐπιτρέψειν, οὐδ᾽ εἴων διαλέγεσθαι τοῖς οἰκέταις, ἵνα μή τι πλέον κελεύσῃ γενέσθαι τῶν

НБ ОНУ імені І.І.Мечникова

αὐτῷ γινομένων. Πλὴν τοσοῦτο μόνον αἰτουμένῳ συνεχώρησαν εἰπεῖν πρὸς ἕνα τῶν οἰκετῶν, ἐναντίον ἐκείνων, ὅτι σήμερον ἐν τῷ Ἀπόλλωνι δειπνήσει· τοῦτο γάρ τις εἶχε τῶν πολυτελῶν οἴκων ὄνομα. Καὶ τοῦτο σεσοφισμένος ἐλελήθει τοὺς ἄνδρας. Ἑκάστῳ γάρ, ὡς ἔοικε, δειπνητηρίῳ τεταγμένον ἦν τίμημα δείπνου, καὶ χορηγίαν ἰδίαν καὶ παρασκευὴν ἕκαστον εἶχεν· ὥστε τοὺς δούλους ἀκούσαντας, ὅπου βούλεται δειπνεῖν, εἰδέναι, πόσον δαπάνημα, καὶ ποίῳ τι κόσμῳ καὶ διαθέσει γενέσθαι δεῖ τὸ δεῖπνον. Εἰώθει δὲ δειπνεῖν ἐν τῷ Ἀπόλλωνι πέντε μυριάδων. Καὶ τότε τοσούτου τελεσθέντος, ἐξέπληξε τοὺς περὶ τὸν Πομπήϊον ἐν τῷ μεγέθει τῆς δαπάνης, τὸ τάχος τῆς παρασκευῆς. Εἰς ταῦτα μὲν οὖν ὑβριστικῶς ἐχρῆτο τῷ πλούτῳ, καθάπερ ὄντως αἰχμαλώτῳ καὶ βαρβάρῳ.

XLII. Σπουδῆς δ' ἄξια καὶ λόγου τὰ περὶ τὴν τῶν βιβλίων κατασκευήν. Καὶ γὰρ πολλὰ καὶ γεγραμμένα καλῶς συνῆγε· ἥ τε χρῆσις ἦν φιλοτιμοτέρα τῆς κτήσεως, ἀνειμένων πᾶσι τῶν βιβλιοθηκῶν, καὶ τῶν περὶ αὐτὰς περιπάτων καὶ σχολαστηρίων ἀκωλύτως ὑποδεχομένων τοὺς Ἕλληνας, ὥσπερ εἰς Μουσῶν τι καταγώγιον, ἐκεῖσε φοιτῶντας καὶ συνδιημερεύοντας ἀλλήλοις, ἀπὸ τῶν ἄλλων χρειῶν ἀσμένως ἀποτρέχοντας. Πολλάκις δὲ καὶ συνεσχόλαζεν αὐτὸς ἐμβάλλων εἰς τοὺς περιπάτους τοῖς φιλολόγοις, καὶ τοῖς πολιτικοῖς συνέπραττεν, ὅτου δέοιντο· καὶ ὅλως ἑστία καὶ πρυτανεῖον Ἑλληνικὸν ὁ οἶ-



НБОНУ імені І.І. Мечникова

κος ἦν αὐτοῦ τοῖς ἀφικνουμένοις εἰς Ῥώμην. Φιλοσοφίαν δὲ πᾶσαν μὲν ἠσπάζετο, καὶ πρὸς πᾶσαν εὐμενὴς ἦν καὶ οἰκεῖος· ἴδιον δὲ τῆς Ἀκαδημίας ἐξ ἀρχῆς ἔρωτα καὶ ζῆλον ἔσχεν, οὐ τῆς νέας λεγομένης, καίπερ ἀνθούσης τότε τοῖς Καρνεάδου λόγοις διὰ Φίλωνος, ἀλλὰ τῆς παλαιᾶς, πιθανὸν ἄνδρα καὶ δεινὸν εἰπεῖν τότε προστάτην ἐχούσης, τὸν Ἀσκαλωνίτην Ἀντίοχον. Ὃν πάσῃ σπουδῇ ποιησάμενος φίλον ὁ Λούκουλλος καὶ συμβιωτὴν, ἀντέταττε τοῖς Φίλωνος ἀκροαταῖς, ὧν καὶ Κικέρων ἦν. Καὶ σύγγραμμά γε πάγκαλον ἐποίησεν εἰς τὴν αἵρεσιν, ἐν ᾧ τὸν ὑπὲρ τῆς καταλήψεως λόγον Λουκούλλῳ περιτέθεικεν, αὐτῷ δὲ τὸν ἐναντίον· Λούκουλλος δ' ἀναγέγραπται τὸ βιβλίον. Ἦσαν δ', ὥσπερ εἴρηται, φίλοι σφόδρα καὶ κοινωνοὶ τῆς ἐν πολιτείᾳ προαιρέσεως· οὐδὲ γὰρ αὖ πάμπαν ἀπηλλάχει τῆς πολιτείας ἑαυτὸν ὁ Λούκουλλος, ἀλλὰ τὴν ὑπὲρ τοῦ μέγιστος εἶναι καὶ πλεῖστον δύνασθαι φιλοτιμίαν καὶ ἅμιλλαν, ὡς οὔτ' ἀκίνδυνον, οὔτ' ἀνύβριστον οὖσαν, εὐθὺς ἀφῆκε Κράσσῳ καὶ Κάτωνι. Τούτους γὰρ οἱ τὴν Πομπηΐου δύναμιν ὑφορώμενοι προεβάλλοντο τῆς βουλῆς, ἀπολεγομένου τοῦ Λουκούλλου τὰ πρωτεῖα. Κατέβαινε δ' εἰς τὴν ἀγορὰν διὰ τοὺς φίλους· εἰς δὲ τὴν σύγκλητον, εἰ Πομπηΐου τινὰ δέοι σπουδὴν ἢ φιλοτιμίαν ἐπηρεάσαι. Καὶ τάς τε διατάξεις, ἃς ἐκεῖνος ἐποιήσατο, τῶν βασιλέων κρατήσας, ἐξέκρουσε, καὶ νέμησίν τινα τοῖς στρατιώταις αὐτοῦ γράφοντος, ἐκώλυσε δοθῆναι, συμπράττοντος Κάτωνος.

НБ ОНУ імені І.І.Мечникова

Ὥστε Πομπήϊον εἰς τὴν Κράσσου καὶ Καίσαρος φιλίαν, μᾶλλον δὲ συνωμοσίαν, καταφυγεῖν· καὶ πληρώσαντα τὴν πόλιν ὅπλων καὶ στρατιωτῶν, βίᾳ κυρῶσαι τὰ δόγματα, τοὺς περὶ τὸν Κάτωνα καὶ Λούκουλλον ἐκβαλόντα τῆς ἀγορᾶς. Ἀγανακτούντων δὲ τῶν βελτίστων ἐπὶ τοῖς γινομένοις, προῆγον οἱ Πομπηιανοὶ Βρέττιόν τινα, συνειληφέναι λέγοντες ἐπιβουλεύοντα Πομπηΐῳ. Κἀκεῖνος ἀνακρινόμενος, ἐν μὲν τῇ συγκλήτῳ κατηγόρησεν ἑτέρων τινῶν, ἐν δὲ τῷ δήμῳ Λούκουλλον ὠνόμασεν, ὡς ὑπ᾽ ἐκείνου παρεσκευασμένος ἀποκτεῖναι Πομπήϊον. Οὐδεὶς δὲ τῷ λόγῳ προσέσχεν, ἀλλὰ καὶ παραυτίκα δῆλος ἦν ὁ ἄνθρωπος ἐπὶ συκοφαντίᾳ καὶ διαβολῇ προηγμένος ὑπ᾽ αὐτῶν. Καὶ μᾶλλον ἐφωράθη τὸ πρᾶγμα μετ᾽ ὀλίγας ἡμέρας, ῥιφθέντος ἐκ τῆς εἱρκτῆς νεκροῦ· οὐ λεγομένου μὲν αὐτομάτως τεθνάναι, σημεῖα δ᾽ ἀγχόνης καὶ πληγῶν ἔχοντος, ἐδόκει παρ᾽ αὐτῶν ἀνῃρῆσθαι τῶν παρεσκευακότων.

XLIII. Ταῦτα δὴ καὶ μᾶλλον ἀπῆγε τῆς πολιτείας τὸν Λούκουλλον. Ἐπεὶ δὲ Κικέρων ἐξέπεσε τῆς πόλεως, καὶ Κάτων εἰς Κύπρον ἀπεστάλη, παντάπασιν ἐξελύθη. Καὶ πρό γε τῆς τελευτῆς λέγεται νοσῆσαι τὴν διάνοιαν αὐτῷ, κατὰ μικρὸν ἀπομαραινομένην. Νέπως δὲ Κορνήλιος οὐχ ὑπὸ γήρως φησὶν, οὐδὲ νόσου παραλλάξαι τὸν Λούκουλλον, ἀλλὰ φαρμάκοις ὑπό τινος τῶν ἀπελευθέρων, Καλλισθένους, διαφθαρέντα· τὰ δὲ φάρμακα δοθῆναι μὲν, ὡς ἀγαπῷτο μᾶλλον ὁ Καλλισθένης ὑπ᾽ αὐτοῦ, τοιαύτην

ἔχειν δοκοῦντα τὴν δύναμιν· ἐκστῆσαι δὲ καὶ καταλῦσαι τὸν λογισμὸν, ὥστ', ἔτι ζῶντος αὐτοῦ, τὴν οὐσίαν διοικεῖν τὸν ἀδελφόν. Οὐ μὴν ἀλλ', ὡς ἀπέθανε, καθάπερ ἂν ἐν ἀκμῇ τῆς στρατηγίας καὶ τῆς πολιτείας αὐτοῦ τελευτήσαντος, ὁ δῆμος ἠχθέσθη καὶ συνέδραμε, καὶ τὸ σῶμα κομισθὲν εἰς ἀγορὰν ὑπὸ τῶν εὐγενεστάτων νεανίσκων, ἐβιάζετο θάπτειν ἐν τῷ πεδίῳ τοῦ Ἄρεως, ὅπου καὶ Σύλλαν ἔθαψεν. Οὐδενὸς δὲ τοῦτο προσδοκήσαντος, οὐδὲ ῥᾳδίας οὔσης τῆς παρασκευῆς, ὁ ἀδελφὸς αὐτοῦ δεόμενος καὶ παραιτούμενος, ἔπεισεν ἐπιτρέψαι τὴν παρεσκευασμένην ἐν τῷ περὶ Τοῦσκλον ἀγρῷ τοῦ νεκροῦ κηδείαν γενέσθαι. Πολὺν δ' οὐδ' αὐτὸς προσεβίω χρόνον, ἀλλ', ὡς ἡλικίᾳ καὶ δόξῃ, μικρὸν ἀπελείφθη καὶ τῷ χρόνῳ τῆς τελευτῆς, φιλαδελφότατος γενόμενος.

---

НБ ОНУ імені І.І. Мечнікова

# COMPARATIO CIMONIS CVM LVCVLLO.

Μάλιστα δ' ἄν τις εὐδαιμονίσειε τοῦ τέλους Λούκουλλον, ὅτι πρὸ τῆς μεταβολῆς, ἣν ἤδη κατὰ τῆς πολιτείας ἐτεκταίνετο τοῖς ἐμφυλίοις πολέμοις τὸ πεπρωμένον, ἔφθη προαποθανὼν, καὶ καταλύσας ἐν νοσούσῃ μὲν, ἔτι δ' ἐλευθέρᾳ τῇ πατρίδι τὸν βίον. Καὶ τοῦτό γε πάντων αὐτῷ πρὸς Κίμωνα κοινότατόν ἐστι. Καὶ γὰρ ἐκεῖνος, οὔπω συντεταραγμένων τῶν Ἑλληνικῶν, ἀλλ' ἀκμὴν εὖ ἐχόντων, ἐτελεύτησεν· ἐπὶ στρατοπέδου μέντοι, καὶ στρατηγῶν, οὐκ ἀπειρηκὼς, οὐδ' ἀλύων, οὐδὲ τῶν ὅπλων καὶ τῶν στρατηγιῶν καὶ τῶν τροπαίων ἔπαθλον ποιούμενος εὐωχίας καὶ πότους· ὥσπερ Πλάτων ἐπισκώπτει τοὺς περὶ τὸν Ὀρφέα, τοῖς εὖ βεβιωκόσι φάσκοντας ἀποκεῖσθαι γέρας ἐν ᾅδου, μέθην αἰώνιον. Σχολὴ μὲν οὖν καὶ ἡσυχία καὶ διατριβὴ περὶ λόγους ἡδονήν τινα καὶ θεωρίαν ἔχοντας, εὐπρεπέστατον ἀνδρὶ πρεσβύτῃ καὶ πεπαυμένῳ πολέμων καὶ πολιτείας παραμύθιον· τὸ δ' ἐφ' ἡδονὴν, ὡς τέλος, καταστρέψαντα τὰς καλὰς

НБОНУ імені І.І.Мечникова

πράξεις, ἤδη λοιπὸν Ἀφροδίσια τῶν πολέμων καὶ στρατηγιῶν ἄγοντα παίζειν καὶ τρυφᾶν, οὐκ ἄξια τῆς καλῆς Ἀκαδημίας, οὐδὲ τὸν Ξενοκράτη ζηλοῦντος, ἀλλ' ἐγκεκλικότος πρὸς τὸν Ἐπίκουρον. Ὃ καὶ θαυμαστόν ἐστιν. Ὑπεναντίως γὰρ ἡ νεότης τοῦ μὲν ἐπίψογος καὶ ἀκόλαστος γεγονέναι δοκεῖ, τοῦ δὲ πεπαιδευμένη καὶ σώφρων. Βελτίων οὖν, ᾧ πρὸς τὸ βέλτιον ἡ μεταβολή· χρηστοτέρα γὰρ ἡ φύσις, ἐν ᾗ γηρᾷ μὲν τὸ χεῖρον, ἐπακμάζει δὲ τὸ ἄμεινον. Καὶ μὴν ὁμοίως γε πλουτήσαντες οὐχ ὁμοίως διέθεντο τὸν πλοῦτον. Οὐ γὰρ ἄξιον ὁμοιῶσαι τῷ νοτίῳ τείχει τῆς ἀκροπόλεως, ὃ τοῖς ὑπὸ Κίμωνος κομισθεῖσιν ἐτελέσθη χρήμασι, τοὺς ἐν Νεαπόλει θαλάμους καὶ τὰς περικλύστους ἀπόψεις, ἃς Λούκουλλος ἀπὸ τῶν βαρβαρικῶν ἐξῳκοδόμει λαφύρων· οὐδέ γε τῇ Κίμωνος τραπέζῃ τὴν Λουκούλλου παραβαλεῖν, τῇ δημοκρατικῇ καὶ φιλανθρώπῳ τὴν πολυτελῆ καὶ σατραπικήν. Ἡ μὲν γὰρ ἀπὸ μικρᾶς δαπάνης πολλοὺς καθ' ἡμέραν διέτρεφεν, ἡ δ' εἰς ὀλίγους τρυφῶντας ἀπὸ πολλῶν παρεσκευάζετο χρημάτων. Εἰ μὴ νὴ Δία τῶν πραγμάτων ἐποίει διαφορὰν ὁ χρόνος. Ἄδηλον γάρ, εἰ καὶ Κίμων ἀπὸ τῶν πράξεων καὶ στρατηγιῶν εἰς ἀπόλεμον καὶ ἀπολίτευτον γῆρας ἀφεὶς αὑτόν, ἔτι μᾶλλον ἂν ἐχρήσατο σοβαρᾷ καὶ πρὸς ἡδονὴν ἀνειμένῃ διαίτῃ. Καὶ γὰρ φιλοπότης καὶ πανηγυρικός, καὶ τὰ πρὸς γυναῖκας, ὡς εἴρηται, διαβεβλημένος. Αἱ δ' ἐπὶ τὰς πράξεις καὶ τοὺς ἀγῶνας κατορθώσεις, ἡδονὰς ἑτέρας ἔχουσαι, τῶν χειρόνων ἐπιθυμιῶν ἀσχο-

λίαν ποιοῦσι καὶ λήθην ταῖς πολιτικαῖς καὶ φιλοτίμοις φύσεσιν. Εἰ γοῦν καὶ Λούκουλλος ἐτελεύτησεν ἀγωνιζόμενος καὶ στρατηγῶν, οὐδ᾽ ἂν ὁ ψογερώτατος καὶ φιλομεμφότατος εἰπεῖν μοι δοκεῖ διαβολὴν ἐπ᾽ αὐτόν. Καὶ ταῦτα μὲν περὶ τῆς διαίτης.

II. Ἐν δὲ τοῖς πολεμικοῖς, ὅτι μὲν ἀμφότεροι καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν ἀγαθοὶ γεγόνασιν ἀγωνισταὶ, δῆλον. Ὥσπερ δὲ τῶν ἀθλητῶν τοὺς ἡμέρᾳ μιᾷ πάλῃ [μιᾷ] καὶ παγκρατίῳ στεφανουμένους, ἔθει τινὶ παραδοξονίκας καλοῦσιν, οὕτω Κίμων ἐν ἡμέρᾳ μιᾷ πεζομαχίας καὶ ναυμαχίας ἅμα τροπαίῳ στεφανώσας τὴν Ἑλλάδα, δίκαιός ἐστιν ἔχειν τινὰ προεδρίαν ἐν τοῖς στρατηγοῖς. Καὶ μὴν Λουκούλλῳ μὲν ἡ πατρὶς, Κίμων δὲ τῇ πατρίδι τὴν ἡγεμονίαν περιέθηκε. Καὶ ὁ μὲν ἀρχούσῃ τῶν συμμάχων προσεκτήσατο τὰ τῶν πολεμίων· ὁ δ᾽ ἄλλοις ἑπομένην παραλαβὼν, ἅμα καὶ τῶν συμμάχων ἄρχειν καὶ τῶν πολεμίων κρατεῖν ἐποίησε, Πέρσας μὲν [οὖν] ἀναγκάσας ἡττηθέντας ἐκβῆναι τῆς θαλάσσης, Λακεδαιμονίους δὲ πείσας ἑκόντας ἐκστῆναι. Εἰ τοίνυν μέγιστον ἔργον ἡγεμόνος, εὐπείθειαν ἐνεργάσασθαι δι᾽ εὔνοιαν, Λούκουλλος μὲν ὑπὸ τῶν στρατιωτῶν κατεφρονήθη, Κίμων δ᾽ ὑπὸ τῶν συμμάχων ἐθαυμάσθη. Παρ᾽ οὗ μὲν γὰρ ἀπέστησαν, πρὸς ὃν δὲ μετέστησαν. Καὶ ὁ μὲν ὧν ἄρχων ἐξῆλθεν, ὑπὸ τούτων ἀπολειφθεὶς ἐπανῆλθεν· ὁ δὲ, μεθ᾽ ὧν ἑτέροις ποιήσων τὸ προσταττόμενον ἐξεπέμφθη, τούτοις αὐτὸς διδοὺς τὸ παράγγελμα, κατέπλευσε, τρία τὰ πάντων δυσκο-

НБ ОНУ імені І.І. Мечникова

λώτατα διαπεπραγμένος όμοῦ τῇ πόλει, πρὸς μὲν τοὺς πολεμίους εἰρήνην, παρὰ δὲ τῶν συμμάχων ἡγεμονίαν, πρὸς δὲ Λακεδαιμονίους ὁμόνοιαν. Μεγάλας τοίνυν ἐπιχειρήσαντες ἀμφότεροι καταλύειν ἡγεμονίας, καὶ καταστρέφεσθαι τὴν Ἀσίαν πᾶσαν, ἀτελεῖς ἐγένοντο τῶν πράξεων, ὁ μὲν καθάπαξ διὰ τὴν τύχην· ἐτελεύτησε γὰρ στρατηγῶν καὶ εὐημερῶν· τὸν δ᾽ οὐ παντελῶς ἄν τις ἐξέλοιτο τῆς παρ᾽ αὐτὸν αἰτίας, εἴτ᾽ ἠγνόησεν, εἴτ᾽ οὐκ ἐθεράπευσε τὰς ἐν τῷ στρατιωτικῷ διαφορὰς καὶ μέμψεις, ἀφ᾽ ὧν εἰς τηλικαύτας ἀπεχθείας προῆλθεν. Ἢ τοῦτό γε καὶ πρὸς Κίμωνα κοινόν ἐστι· καὶ γὰρ ἐκεῖνον ὑπήγαγόν τε εἰς δίκας οἱ πολῖται, καὶ τελευτῶντες ἐξωστράκισαν, ἵν᾽ αὐτοῦ δέκα ἐτῶν, ὥς φησιν ὁ Πλάτων, τῆς φωνῆς μὴ ἀκούσωσιν. Αἱ γὰρ ἀριστοκρατικαὶ φύσεις ὀλίγα τοῖς πολλοῖς συνᾴδουσι καὶ πρὸς ἡδονὴν ἔχουσι· τὰ δὲ πολλὰ προσβιαζόμεναι, τῷ κατευθύνειν διαστρεφομένους ἀνιῶσιν, ὥσπερ οἱ τῶν ἰατρῶν δεσμοὶ, καίπερ εἰς τὰ κατὰ φύσιν ἄγοντες τὰς παραρθρήσεις. Ταύτης μὲν οὖν ἴσως ἀπαλλακτέον τῆς αἰτίας ἑκάτερον.

III. Πολὺ δ᾽ ὁ Λούκουλλος προῆλθε τῷ πολέμῳ, τόν τε Ταῦρον ὑπερβαλὼν στρατοπέδῳ Ῥωμαίων πρῶτος, καὶ τὸν Τίγριν διαβὰς, καὶ τὰ βασίλεια τῆς Ἀσίας ἐν ὄψει τῶν βασιλέων, Τιγρανόκερτα καὶ Κάβειρα καὶ Σινώπην καὶ Νίσιβιν ἑλὼν καὶ καταφλέξας, καὶ τὰ μὲν βόρεια, μέχρι Φάσιδος, τὰ δ᾽ ἑῷα, μέχρι Μηδίας, τὰ δὲ πρὸς νότον καὶ τὴν ἐρυθρὰν θάλασσαν

НБ ОНУ імені І.І. Мечникова

οἰκειωσάμενος διὰ τῶν Ἀραβικῶν βασιλέων· συντρίψας δὲ τὰς δυνάμεις τῶν βασιλέων, ἀπολειφθεὶς δὲ μόνου τοῦ τὰ σώματα λαβεῖν, ὥσπερ θηρίων εἰς ἐρημίας καὶ ὕλας ἀστιβεῖς καὶ ἀβάτους ἀποδιδρασκόντων. Τεκμήριον δὲ μέγα· Πέρσαι μὲν γὰρ, ὡς οὐδὲν μέγα πεπονθότες ὑπὸ Κίμωνος, εὐθὺς ἀντετάττοντο τοῖς Ἕλλησι, καὶ τήν γε πολλὴν δύναμιν αὐτῶν ἐν Αἰγύπτῳ κρατήσαντες διέφθειραν. Τιγράνου δὲ καὶ Μιθριδάτου μετὰ Λούκουλλον οὐδὲν ἄλλο ἔργον ἐγένετο· ἀλλ᾽ ὁ μὲν, ἀσθενὴς ἤδη καὶ συγκεκομμένος ὑπὸ τῶν πρώτων ἀγώνων, οὐδ᾽ ἅπαξ ἐτόλμησε δεῖξαι Πομπηΐῳ τὴν δύναμιν ἔξω τοῦ χάρακος, ἀλλὰ φυγὼν εἰς Βόσπορον κατέβη, κἀκεῖ κατέστρεψε· Τιγράνης δ᾽ αὐτὸς ἑαυτὸν γυμνὸν καὶ ἄνοπλον φέρων ὑπέῤῥιψε Πομπηΐῳ, καὶ τὸ διάδημα τῆς κεφαλῆς ἀφελόμενος, ἔθηκε πρὸ τῶν ποδῶν, οὐ τοῖς ἑαυτοῦ κολακεύων Πομπήϊον, ἀλλὰ τοῖς ὑπὸ Λουκούλλου τεθριαμβευμένοις. Ἠγάπησε γοῦν ἀπολαμβάνων τὰ σύμβολα τῆς βασιλείας, ὡς ἀφῃρημένος πρότερον. Μείζων οὖν στρατηγὸς, ὥσπερ ἀθλητὴς, ὁ τῷ μεθ᾽ ἑαυτὸν ἀσθενέστερον παραδοὺς τὸν ἀντίπαλον. Ἔτι τοίνυν, Κίμων μὲν συντετριμμένην τὴν βασιλέως δύναμιν, καὶ τὸ Περσῶν φρόνημα συνεσταλμένον ἥτταις μεγάλαις καὶ ἀπαύστοις φυγαῖς ὑπὸ Θεμιστοκλέους καὶ Παυσανίου καὶ Λεωτυχίδου καταλαβὼν, ἐπενέβη, καὶ προπεπτωκότων καὶ προηττημένων ταῖς ψυχαῖς τὰ σώματα ῥαδίως ἐνίκησε· Λουκούλλῳ δὲ Τιγράνης, ἀήττητος ἐκ πολλῶν ἀγώνων καὶ μέγα φρονῶν, συν-

НБ ОНУ імені І.І. Мечникова

ἔπεσε. Πλήθει δ' οὐδ' ἄξιον παραβαλεῖν τοῖς ἐπὶ Λούκουλλον συνελθοῦσι τοὺς ὑπὸ Κίμωνος κρατηθέντας. Ὥστε πάντη μεταλαμβάνοντι δυσδιαίτητον εἶναι τὴν κρίσιν. Ἐπεὶ καὶ τὸ δαιμόνιον ἀμφοτέροις ἔοικεν εὐμενὲς γενέσθαι, τῷ μὲν ἃ χρὴ κατορθοῦν, τῷ δ' ἃ φυλάττεσθαι χρὴ, προμηνῦον· ὥστε καὶ τὴν παρὰ τῶν θεῶν ψῆφον αὐτοῖς ὑπάρχειν, ὡς ἀγαθοῖς καὶ θείοις τὴν φύσιν ἀμφοτέροις.

---

# Ν Ι Κ Ι Α Σ.

Ἐπεὶ δοκοῦμεν οὐκ ἀτόπως τῷ Νικίᾳ τὸν Κράσσον παραβάλλειν, καὶ τὰ Παρθικὰ παθήματα τοῖς Σικελικοῖς, ὥρα παραιτεῖσθαι καὶ παρακαλεῖν ὑπὲρ ἐμοῦ τοὺς ἐντυγχάνοντας τοῖς συγγράμμασι τούτοις, ὅπως ἐπὶ ταῖς διηγήσεσιν, αἷς Θουκυδίδης, αὐτὸς αὐτοῦ περὶ ταῦτα παθητικώτατος, ἐναργέστατος, ποικιλώτατος γενόμενος, ἀμιμήτως ἐξενήνοχε, μηδὲν ἡμᾶς ὑπολάβωσι πεπονθέναι Τιμαίῳ πάθος ὅμοιον· ὃς ἐλπίσας τὸν μὲν Θουκυδίδην ὑπερβαλεῖσθαι δεινότητι, τὸν δὲ Φίλιστον ἀποδείξειν παντάπασι φορτικὸν καὶ ἰδιώτην, διὰ μέσων ὠθεῖται τῇ ἱστορίᾳ τῶν μάλιστα κατωρθωμένων ἐκείνοις ἀγώνων, καὶ ναυμαχιῶν, καὶ δημηγοριῶν, οὐ μὰ Δία

Παρὰ Λύδιον ἅρμα πεζὸς οἰχνεύων,

ὥς φησι Πίνδαρος· ἀλλ᾽ ὅλως τις ὀψιμαθὴς καὶ μειρακιώδης φαινόμενος ἐν τούτοις, καὶ κατὰ τὸν Δίφιλον,

Παχὺς, ᾠνθυλευμένος στέατι Σικελικῷ.

πολλαχοῦ δ᾽ ὑπορρέων εἰς τὸν Ξέναρχον· Ὥσπερ ὅταν

λέγη τοῖς Ἀθηναίοις οἰωνὸν ἡγήσασθαι γεγονέναι, τὸν ἀπὸ τῆς νικης ἔχοντα τοὔνομα στραιηγὸν, ἀντειπόντα πρὸς τὴν στρατηγίαν· καὶ τῇ περικοπῇ τῶν Ἑρμῶν προσημαίνειν αὐτοῖς τὸ δαιμόνιον, ὡς ὑπὸ Ἑρμοκράτους τοῦ Ἕρμωνος πλεῖστα πείσονται παρὰ τὸν πόλεμον. Ἔτι δ', εἰκὸς εἶναι τὸν Ἡρακλέα τοῖς μὲν Συρακουσίοις βοηθεῖν, διὰ τὴν Κόρην, παρ' ἧς ἔλαβε τὸν Κέρβερον· ὀργίζεσθαι δὲ τοῖς Ἀθηναίοις, ὅτι τοὺς Αἰγεσιέας, ἀπογόνους ὄντας Τρώων, ἔσωζον, αὐτὸς δ' ὑπὸ Λαομέδοντος ἀδικηθεὶς, ἀνάστατον ἐποίησε τὴν πόλιν. Ἀλλὰ τούτῳ μὲν ἴσως ἀπὸ τῆς αὐτῆς ἐμμελείας ταῦτά τε γράφειν ἐπῄει, καὶ τὴν Φιλίστου διάλεκτον εὐθύνειν, καὶ τοῖς περὶ Πλάτωνα καὶ Ἀριστοτέλη λοιδορεῖσθαι. Ἐμοὶ δ' ὅλως μὲν ἡ περὶ λέξιν ἅμιλλα καὶ ζηλοτυπία πρὸς ἑτέρους, μικροπρεπὲς φαίνεται καὶ σοφιστικόν· ἂν δὲ πρὸς τὰ ἀμίμητα γίγνηται, καὶ τελέως ἀναίσθητον. Ἃς γοῦν Θουκυδίδης ἐξήνεγκε πράξεις καὶ Φίλιστος, ἐπεὶ παρελθεῖν οὐκ ἔστι, μάλιστά γε δὴ τὸν τρόπον καὶ τὴν διάθεσιν τοῦ ἀνδρὸς ὑπὸ πολλῶν καὶ μεγάλων παθῶν καλυπτομένην περιεχούσας, ἐπιδραμὼν βραχέως καὶ διὰ τῶν ἀναγκαίων, ἵνα μὴ παντάπασιν ἀμελὴς δοκῶ καὶ ἀργὸς εἶναι, τὰ διαφεύγοντα τοὺς πολλοὺς, ὑφ' ἑτέρων δ' εἰρημένα σποράδην, ἢ πρὸς ἀναθήμασιν, ἢ ψηφίσμασιν εὑρημένα παλαιοῖς, πεπείραμαι συναγαγεῖν· οὐ τὴν ἄχρηστον ἀθροίζων ἱστορίαν, ἀλλὰ τὴν πρὸς κατανόησιν ἤθους καὶ τρόπου παραδιδούς.

II. Ἔνεστιν οὖν περὶ Νικίου πρῶτον εἰπεῖν, ὅ γέ·

γραφεν Ἀριστοτέλης, ὅτι τρεῖς ἐγένοντο βέλτιστοι τῶν πολιτῶν, καὶ πατρικὴν ἔχοντες εὔνοιαν καὶ φιλίαν πρὸς τὸν δῆμον, Νικίας ὁ Νικηράτου, καὶ Θουκυδίδης ὁ Μιλησίου, καὶ Θηραμένης ὁ Ἄγνωνος· ἧττον δὲ οὗτος, ἢ ἐκεῖνοι· καὶ γὰρ εἰς δυσγένειαν, ὡς ξένος ἐκ Κέω, λελοιδόρηται, καὶ διὰ τὸ μὴ μόνιμον, ἀλλὰ καὶ ἐπαμφοτερίζον ἀεὶ τῇ προαιρέσει τῆς πολιτείας, ἐπεκλήθη Κόθορνος. Ἐκείνων δὲ πρεσβύτερος μὲν ὁ Θουκυδίδης ἦν, καὶ πολλὰ Περικλεῖ δημαγωγοῦντι, τῶν καλῶν καὶ ἀγαθῶν προϊστάμενος, ἀντεπολιτεύσατο. Νεώτερος δὲ Νικίας γενόμενος, ἦν μὲν ἔν τινι λόγῳ, καὶ Περικλέους ζῶντος, ὥστε κἀκείνῳ συστρατηγῆσαι, καὶ καθ᾽ αὑτὸν ἄρξαι πολλάκις. Περικλέους δ᾽ ἀποθανόντος, εὐθὺς εἰς τὸ πρωτεύειν προήχθη, μάλιστα μὲν ὑπὸ τῶν πλουσίων καὶ γνωρίμων, ἀντίταγμα ποιουμένων αὐτὸν πρὸς τὴν Κλέωνος βδελυρίαν καὶ τόλμαν· οὐ μὴν ἀλλὰ καὶ τὸν δῆμον εἶχεν εὔνουν καὶ συμφιλοτιμούμενον. Ἴσχυε μὲν γὰρ ὁ Κλέων μέγα, γεροντανωγῶν, καὶ ἀναμισθαρνεῖν διδούς. Ὅμως δὲ καὶ τὴν πλεονεξίαν αὐτοῦ καὶ τὴν ἰταμότητα καὶ τὸ θράσος ὁρῶντες αὐτοὶ, οἷς πρὸς χάριν ἔπραττεν, οἱ πολλοὶ τὸν Νικίαν ἐπήγοντο. Καὶ γὰρ οὐκ ἦν αὐστηρὸν, οὐδ᾽ ἐπαχθὲς ἄγαν αὐτοῦ τὸ σεμνὸν, ἀλλ᾽ εὐλαβείᾳ τινὶ μεμιγμένον, αὐτῷ τῷ δεδιέναι δοκοῦντι τοὺς πολλοὺς δημαγωγοῦν. Τῇ φύσει γὰρ ὢν ἀθαρσὴς καὶ δύσελπις, ἐν μὲν τοῖς πολεμικοῖς ἀπέκρυπτεν εὐτυχίᾳ τὴν δειλίαν· κατώρθου γὰρ ὁμαλῶς στρατηγῶν. Τὸ δ᾽ ἐν τῇ πολιτείᾳ ψοφο-

δεές, καὶ πρὸς τοὺς συκοφάντας εὐθορύβητον αὐτοῦ, καὶ δημοτικὸν ἐδόκει, καὶ δύναμιν οὐ μικρὰν ἀπ' εὐνοίας τοῦ δήμου παρεῖχε, τῷ δεδιέναι τοὺς ὑπερορῶντας, αὔξειν δὲ τοὺς δεδιότας. Τοῖς γὰρ πολλοῖς τιμὴ μεγίστη παρὰ τῶν μειζόνων, τὸ μὴ καταφρονεῖσθαι.

III. Περικλῆς μὲν οὖν ἀπό τ' ἀρετῆς ἀληθινῆς καὶ λόγου δυνάμεως τὴν πόλιν ἄγων, οὐδενὸς ἐδεῖτο σχηματισμοῦ πρὸς τὸν ὄχλον, οὐδὲ πιθανότητος. Νικίας δὲ τούτοις μὲν λειπόμενος, οὐσίᾳ δὲ προέχων, ἀπ' αὐτῆς ἐδημαγώγει, καὶ τῇ Κλέωνος εὐχερείᾳ καὶ βωμολοχίᾳ πρὸς ἡδονὴν μεταχειριζομένῃ τοὺς Ἀθηναίους, διὰ τῶν ὁμοίων ἀντιπαρεξάγειν ἀπίθανος ὤν, χορηγίαις ἀνελάμβανε καὶ γυμνασιαρχίαις, ἑτέραις τε τοιαύταις φιλοτιμίαις τὸν δῆμον, ὑπερβαλλόμενος πολυτελείᾳ καὶ χάριτι τοὺς πρὸ ἑαυτοῦ καὶ καθ' ἑαυτὸν ἅπαντας. Εἱστήκει δὲ καὶ τῶν ἀναθημάτων αὐτοῦ καθ' ἡμᾶς τό τε Παλλάδιον ἐν ἀκροπόλει, τὴν χρύσωσιν ἀποβεβληκός, καὶ ὁ τοῖς χορηγικοῖς τρίποσιν ὑποκείμενος ἐν Διονύσου νεώς. Ἐνίκησε γὰρ πολλάκις χορηγήσας, ἐλείφθη δ' οὐδέποτε. Λέγεται δ' ἔν τινι χορηγίᾳ παρελθεῖν οἰκέτης αὐτῷ κεκοσμημένος εἰς σχῆμα Διονύσου, κάλλιστος ὀφθῆναι καὶ μέγιστος, οὔπω γενειῶν. Ἡσθέντων δὲ τῶν Ἀθηναίων τῇ ὄψει, καὶ κροτούντων ἐπὶ πολὺν χρόνον, ἀναστὰς ὁ Νικίας, εἶπεν, ὡς οὐχ ὅσιον ἡγοῖτο δουλεύειν καταπεφημισμένον θεῷ σῶμα, καὶ τὸν νεανίσκον ἀπηλευθέρωσε. Μνημονεύεται δ' αὐτοῦ καὶ τὰ

НБ ОНУ імені І.І. Мечникова

περὶ Δῆλον, ὡς λαμπρὰ καὶ θεοπρεπῆ φιλοτιμήματα. Τῶν γὰρ χορῶν, οὓς αἱ πόλεις ἔπεμπον ᾀσομένους τῷ θεῷ, προσπλεόντων μέν, ὡς ἔτυχεν, εὐθὺς δ' ὄχλου πρὸς τὴν ναῦν ἀπαντῶντος, ᾄδειν κελευομένων κατ' οὐδένα κόσμον, ἀλλ' ὑπὸ σπουδῆς ἀσυντάκτως ἀποβαινόντων ἅμα καὶ στεφανουμένων, καὶ μεταμφιεννυμένων, ἐκεῖνος, ὅτε τὴν θεωρίαν ἦγεν, αὐτὸς μὲν εἰς Ῥηνίαν ἀπέβη τὸν χορὸν ἔχων, καὶ τὰ ἱερεῖα, καὶ τὴν ἄλλην παρασκευήν, ζεῦγμα δέ, πεποιημένον Ἀθήνησι πρὸς τὰ μέτρα, καὶ κεκοσμημένον ἐκπρεπῶς χρυσώσεσι καὶ βαφαῖς καὶ στεφάνοις καὶ αὐλαίαις, κομίζων, διὰ νυκτὸς ἐγεφύρωσε τὸν μεταξὺ Ῥηνίας καὶ Δήλου πόρον, οὐκ ὄντα μέγαν. Εἶθ' ἅμα ἡμέρᾳ τήν τε πομπὴν τῷ θεῷ καὶ τὸν χορὸν ἄγων, κεκοσμημένον πολυτελῶς καὶ ᾄδοντα, διὰ τῆς γεφύρας ἀπεβίβαζε. Μετὰ δὲ τὴν θυσίαν, καὶ τὸν ἀγῶνα καὶ τὰς ἑστιάσεις, τόν τε φοίνικα τὸν χαλκοῦν ἔστησεν, ἀνάθημα τῷ θεῷ, καὶ χωρίον μυρίων δραχμῶν πριάμενος καθιέρωσεν, οὗ τὰς προσόδους ἔδει Δηλίους καταθύοντας ἑστιᾶσθαι, πολλὰ καὶ ἀγαθὰ Νικίᾳ παρὰ τῶν θεῶν αἰτουμένους. Καὶ γὰρ τοῦτο τῇ στήλῃ ἐνέγραψεν, ἣν ὥσπερ φύλακα τῆς δωρεᾶς ἐν Δήλῳ κατέλιπεν. Ὁ δὲ φοῖνιξ ἐκεῖνος ὑπὸ τῶν πνευμάτων ἀποκλασθεὶς ἐνέπεσε τῷ Ναξίων ἀνδριάντι τῷ μεγάλῳ, καὶ ἀνέτρεψε.

IV. Τούτοις δ' ὅτι μὲν πολὺ τὸ πρὸς δόξαν καὶ φιλοτιμίαν πανηγυρικὴν καὶ ἀγοραῖον ἔνεστιν, οὐκ ἄδηλον· ἀλλὰ τῷ λοιπῷ τρόπῳ τοῦ ἀνδρὸς καὶ ἤθει



НБ ОНУ імені І.І. Мечникова

πιστεύσειεν ἄν τις εὐσεβείας ἐπακολούθημα τὴν τοιαύτην χάριν καὶ δημαγωγίαν γενέσθαι. Σφόδρα γὰρ ἦν τῶν ἐκπεπληγμένων τὰ δαιμόνια, καὶ θειασμῷ προσκείμενος, ὥς φησι Θουκυδίδης. Ἐν δέ τινι τῶν Πασιφῶντος διαλόγων γέγραπται, ὅτι καθ᾽ ἡμέραν ἔθυε τοῖς θεοῖς, καὶ μάντιν ἔχων ἐπὶ τῆς οἰκίας, προσεποιεῖτο μὲν ἀεὶ σκέπτεσθαι περὶ τῶν δημοσίων, τὰ δὲ πλεῖστα περὶ τῶν ἰδίων, καὶ μάλιστα περὶ τῶν ἀργυρείων μετάλλων. Ἐκέκτητο γὰρ ἐν τῇ Λαυριωτικῇ πολλὰ καὶ μεγάλα εἰς πρόσοδον, οὐκ ἀκινδύνους δὲ τὰς ἐργασίας ἔχοντα. Καὶ πλῆθος ἀνδραπόδων ἔτρεφεν αὐτόθι, καὶ τῆς οὐσίας ἐν ἀργυρίῳ τὸ πλεῖστον εἶχεν. Ὅθεν οὐκ ὀλίγοι περὶ αὐτὸν ἦσαν αἰτοῦντες καὶ λαμβάνοντες. Ἐδίδου γὰρ οὐχ ἧττον τοῖς κακῶς ποιεῖν δυναμένοις, ἢ τοῖς εὖ πάσχειν ἀξίοις. Καὶ ὅλως πρόσοδος ἦν αὐτοῦ τοῖς τε πονηροῖς ἡ δειλία, καὶ τοῖς χρηστοῖς ἡ φιλανθρωπία. Λαβεῖν δὲ περὶ τούτων μαρτυρίαν καὶ παρὰ τῶν κωμικῶν ἔστι. Τηλεκλείδης μὲν γὰρ εἴς τινα τῶν συκοφαντῶν ταυτὶ πεποίηκε·

Χαρικλῆς μὲν οὖν ἔδωκε μνᾶν, ἵν᾽ αὐτὸν μὴ λέγῃ,
Ὡς ἔφυ τῇ μητρὶ παίδων πρῶτος ἐκ βαλαντίου.
Τέσσαρας δὲ μνᾶς ἔδωκε Νικίας Νικηράτου·
Ὧν δ᾽ ἕκατι τοῦτ᾽ ἔδωκε, καίπερ εὖ εἰδὼς ἐγώ,
Οὐκ ἐρῶ. Φίλος γὰρ ἁνήρ, σωφρονεῖν δέ μοι δοκεῖ.

Ὁ δ᾽ ὑπ᾽ Εὐπόλιδος κωμῳδούμενος ἐν τῷ Μαρικᾷ, παράγων τινὰ τῶν ἀπραγμόνων καὶ πενήτων, λέγει·

Α. Πόσου χρόνου γὰρ συγγεγένησαι Νικίᾳ;

*Β. Οὐδ' εἶδον, εἰ μὴ Ἄγχος (?) ἑστῶτ' ἐν ἀγορᾷ.*

*Α. Ἀνὴρ ὁμολογεῖ Νικίαν ἑωρακέναι.*

*Καίτοι τί μαθὼν ἂν εἶδεν, εἰ μὴ προὐδίδου;*

*Ἠκούσατ', ὦ συνήλικες, ἐπαυτοφώρῳ Νικίαν εἰλημμένον.*

*Β. Ὑμεῖς γάρ, ὦ φρενοβλαβεῖς, λάβοιτ' ἂν ἄνδρ' ἄριστον ἐν κακῷ τινι;*

Ὁ δ' Ἀριστοφάνους Κλέων ἀπειλῶν λέγει·

*Λαρυγγιῶ τοὺς ῥήτορας, καὶ Νικίαν ταράξω,*

Ὑποδηλοῖ δὲ καὶ Φρύνιχος τὸ ἀθαρσὲς αὐτοῦ καὶ καταπεπληγμένον ἐν τούτοις·

*Ἦν γὰρ πολίτης ἀγαθός, ὡς εὖ οἶδ' ἐγώ,*

*Κοὐχ ὑποταγεὶς ἐβάδιζεν, ὥσπερ Νικίας.*

V. Οὕτω δὴ διακείμενος εὐλαβῶς πρὸς τοὺς συκοφάντας, οὔτε συνεδείπνει τινὶ τῶν πολιτῶν, οὔτε κοινολογίαις οὔτε συνδιημερεύσεσιν ἐνέβαλλεν ἑαυτόν, οὐδ' ὅλως ἐσχόλαζε ταῖς τοιαύταις διατριβαῖς· ἀλλ' ἄρχων μὲν ἐν τῷ στρατηγίῳ διετέλει μέχρι νυκτός· ἐκ δὲ βουλῆς ὕστατος ἀπῄει, πρῶτος ἀφικνούμενος. Εἰ δὲ μηδὲν ἐν κοινῷ πράττειν ἔχοι, δυσπρόσοδος ἦν καὶ δυσέντευκτος, οἰκουρῶν καὶ κατακεκλεισμένος. Οἱ δὲ φίλοι τοῖς ἐπὶ ταῖς θύραις φοιτῶσιν ἐνετύγχανον, καὶ παρῃτοῦντο συγγνώμην ἔχειν, ὡς καὶ τότε Νικίου πρὸς δημοσίας χρείας τινὰς καὶ ἀσχολίας ὄντος. Καὶ ὁ μάλιστα ταῦτα συντραγῳδῶν, καὶ συμπεριτιθεὶς ὄγκον αὐτῷ καὶ δόξαν, Ἱέρων ἦν, ἀνὴρ τεθραμμένος ἐπὶ τῆς οἰκίας τοῦ Νικίου, περί τε γράμματα καὶ μουσικὴν ἐξησκημένος ὑπ' αὐτοῦ· προσποιούμενος δ' υἱὸς εἶναι

Διονυσίου τοῦ Χαλκοῦ προσαγορευθέντος, οὗ καὶ ποιήματα σώζεται, καὶ τῆς εἰς Ἰταλίαν ἀποικίας ἡγεμὼν γενόμενος, ἔκτισε Θουρίους. Οὗτος οὖν ὁ Ἱέρων τά τε πρὸς τοὺς μάντεις ἀπόῤῥητα διεπράττετο τῷ Νικίᾳ, καὶ λόγον ἐξέφερεν εἰς τὸν δῆμον, ὡς ἐπίπονόν τινα καὶ ταλαίπωρον διὰ τὴν πόλιν ζῶντος αὐτοῦ βίον· „Ὧι γ᾿ (ἔφη) καὶ περὶ λουτρὸν ὄντι καὶ περὶ δεῖπνον ἀεί τι προσπίπτει δημόσιον· ἀμελῶν δὲ τῶν ἰδίων, ὑπὸ τοῦ τὰ κοινὰ φροντίζειν, μόλις ἄρχεται καθεύδειν περὶ πρῶτον ὕπνον. Ὅθεν αὐτῷ καὶ τὸ σῶμα διάκειται κακῶς, καὶ τοῖς φίλοις οὐ προσηνής, οὐδ᾿ ἡδύς ἐστιν· ἀλλὰ καὶ τούτους προσαποβέβληκε τοῖς χρήμασι πολιτευόμενος. Οἱ δ᾿ ἄλλοι, καὶ φίλους κτώμενοι, καὶ πλουτίζοντες αὐτοὺς ἀπὸ τοῦ βήματος, εὐπαθοῦσι καὶ προσπαίζουσι τῇ πολιτείᾳ.“ Τῷ δ᾿ ὄντι τοιοῦτος ἦν ὁ Νικίου βίος, ὥστ᾿ αὐτὸν εἰπεῖν τὰ τοῦ Ἀγαμέμνονος εἰς αὐτόν·

προστάτην δὲ τοῦ βίου
Τὸν ὄγκον ἔχομεν, τῷ δ᾿ ὄχλῳ δουλεύομεν.

VI. Ὁρῶν δὲ τῶν ἐν λόγῳ δυνατῶν, ἢ τῷ φρονεῖν διαφερόντων, ἀποχρώμενον εἰς ἔνια ταῖς ἐμπειρίαις τὸν δῆμον, ὑφορώμενον δ᾿ ἀεὶ καὶ φυλαττόμενον τὴν δεινότητα, καὶ κολούοντα τὸ φρόνημα καὶ τὴν δόξαν, (ὡς δῆλον ἦν τῇ Περικλέους καταδίκῃ, καὶ τῷ Δάμωνος ἐξοστρακισμῷ, καὶ τῇ πρὸς Ἀντιφῶντα τὸν Ῥαμνούσιον ἀπιστίᾳ τῶν πολλῶν· καὶ μάλιστα δὴ τοῖς περὶ Πάχητα, τὸν ἑλόντα Λέσβον, ὃς, εὐθύνας διδοὺς τῆς στρατηγίας, ἐν αὐτῷ τῷ δικαστη-

οἴκῳ σπασάμενος ξίφος ἀνεῖλεν ἑαυτὸν) τὰς μὲν ἐργώδεις πάνυ καὶ μακρὰς ἐπειρᾶτο διακρούεσθαι στρατηγίας, ὅπου δ' αὐτὸς στρατεύοιτο, τῆς ἀσφαλείας ἐχόμενος καὶ τὰ πλεῖστα κατορθῶν, ὡς εἰκὸς, εἰς οὐδεμίαν αὑτοῦ σοφίαν, ἢ δύναμιν, ἢ ἀρετὴν, ἀνέφερε τὰς πράξεις, ἀλλὰ παρεχώρει τῇ τύχῃ, καὶ κατέφευγεν εἰς τὸ θεῖον, τῷ φθόνῳ τῆς δόξης ὑφιέμενος. Ἐπεμαρτύρει δὲ καὶ τὰ πράγματα· πολλῶν γὰρ τότε προσκρουσμάτων τῇ πόλει καὶ μεγάλων γενομένων, οὐδενὸς ἁπλῶς ἐκεῖνος μετέσχεν. Ἀλλὰ περὶ Θράκην μὲν ἡττήθησαν ὑπὸ Χαλκιδέων, Καλλιάδου τε καὶ Ξενοφῶντος στρατηγούντων· τὸ δ' Αἰτωλικὸν πταῖσμα συνέβη, Δημοσθένους ἄρχοντος· ἐν δὲ Δηλίῳ χιλίους αὐτῶν ἀπέβαλον, Ἱπποκράτους ἡγουμένου· τοῦ δὲ λοιμοῦ τὴν πλείστην αἰτίαν ἔλαβε Περικλῆς, διὰ τὸν πόλεμον εἰς τὸ ἄστυ κατακλείσας τὸν ἀπὸ τῆς χώρας ὄχλον, ἐκ τῆς μεταβολῆς τῶν τόπων καὶ διαίτης ἀήθους γενομένου. Νικίας δὲ τούτων ἁπάντων ἀναίτιος ἔμεινε, καὶ στρατηγῶν εἷλε μὲν Κύθηρα, νῆσον εὖ κατὰ τῆς Λακωνικῆς πεφυκυῖαν, καὶ Λακεδαιμονίους ἔχουσαν οἰκήτορας. Ἔλαβε δὲ καὶ πολλὰ τῶν ἐπὶ Θράκης ἀφεστώτων, καὶ προσηγάγετο. Κατακλείσας δὲ Μεγαρεῖς εἰς τὴν πόλιν, εὐθὺς μὲν ἔσχε Μινῴαν τὴν νῆσον· ὀλίγῳ δ' ὕστερον ἐκ ταύτης ὁρμώμενος, Νισαίας ἐκράτησεν. Εἰς δὲ τὴν Κορινθίαν ἀποβὰς, ἐνίκησε μάχῃ καὶ διέφθειρε Κορινθίων πολλοὺς, καὶ Λυκόφρονα τὸν στρατηγόν· ἔνθα δὴ αὐτῷ συνέβη τῶν οἰκείων δύο νεκροὺς ἀπολιπεῖν.

διαλαθόντας περὶ τὴν ἀναίρεσιν. Ὡς οὖν τοῦτ' ἔγνω, τάχιστα τὸν στόλον ἐπιστήσας, ἔπεμψε κήρυκα πρὸς τοὺς πολεμίους περὶ ἀναιρέσεως. Καίτοι κατὰ νόμον τινὰ καὶ συνήθειαν ἐδόκουν οἱ νεκρῶν ὑποσπόνδων λαβόντες ἀναίρεσιν, ἀπολέγεσθαι τὴν νίκην. Καὶ τρόπαιον ἱστάναι τοὺς τούτου τυχόντας, οὐκ ἔνθεσμον ἦν· νικᾶν γὰρ τοὺς κρατοῦντας, μὴ κρατεῖν δὲ τοὺς αἰτοῦντας, ὡς λαβεῖν μὴ δυναμένους. Ἀλλ' ὅμως ἐκεῖνος ὑπέμεινε μᾶλλον προέσθαι τὸ νίκημα καὶ τὴν δόξαν, ἢ καταλιπεῖν ἀτάφους δύο τῶν πολιτῶν. Πορθήσας δὲ τὴν παραλίαν τῆς Λακωνικῆς, καὶ τοὺς ἀντιστάντας Λακεδαιμονίων τρεψάμενος, εἷλε Θυρέαν, Αἰγινητῶν ἐχόντων, καὶ τοὺς αἱρεθέντας ἀπήγαγε ζῶντας εἰς Ἀθήνας.

VII. Ἐπεὶ δὲ, Δημοσθένους Πύλον τειχίσαντος, ἐπεστράτευσαν ἅμα πεζῷ καὶ ναυσὶ Πελοποννήσιοι, καὶ μάχης γενομένης, ἀπελείφθησαν ἐν τῇ Σφακτηρίᾳ νήσῳ Σπαρτιατῶν ἄνδρες ἀμφὶ τοὺς τετρακοσίους, μέγα μὲν, ὥσπερ ἦν, ἡγούμενοι τὸ λαβεῖν αὐτοὺς Ἀθηναῖοι, χαλεπῆς δὲ καὶ δυσέργου τῆς πολιορκίας οὔσης, ἐν χωρίοις ἀνύδροις, καὶ θέρους μὲν μακρὰν καὶ πολυτελῆ τὴν περιαγωγὴν τῶν ἐπιτηδείων ἐχούσης, σφαλερὰν δὲ χειμῶνος καὶ παντελῶς ἄπορον, ἤχθοντο, καὶ μετεμέλοντο πρεσβείαν Λακεδαιμονίων ἀπωσάμενοι περὶ σπονδῶν καὶ εἰρήνης ἀφικομένην πρὸς αὐτούς. Ἀπεώσαντο δὲ, Κλέωνος ἐναντιωθέντος, οὐχ ἥκιστα διὰ Νικίαν. Ἐχθρὸς γὰρ ὢν αὐτοῦ, καὶ προθύμως ὁρῶν συμπράττοντα

НБ ОНУ імені І.І. Мечникова

τοῖς Λακεδαιμονίοις, ἔπεισε τὸν δῆμον ἀποψηφίσασθαι τὰς σπονδάς. Ὡς οὖν ἥ τε πολιορκία μῆκος ἐλάμβανε, καὶ δεινὰς ἀπορίας ἐπυνθάνοντο περιεστάναι τὸ στρατόπεδον, δι' ὀργῆς εἶχον τὸν Κλέωνα. Τοῦ δ' εἰς τὸν Νικίαν ἐκτρέποντος τὴν αἰτίαν, καὶ κατηγοροῦντος ὅτι δειλίᾳ καὶ μαλακίᾳ προΐεται τοὺς ἄνδρας, ὡς, αὐτοῦ γε στρατηγοῦντος, οὐκ ἂν περιγενομένους χρόνον τοσοῦτον, τοῖς Ἀθηναίοις εἰπεῖν παρέστη· „Τί δ' οὐχὶ καὶ νῦν αὐτὸς σὺ πλεῖς ἐπὶ τοὺς ἄνδρας; ὅ τε Νικίας ἀναστὰς ἐξίστατο τῆς ἐπὶ Πύλον στρατηγίας αὐτῷ, καὶ λαμβάνειν, ὁπόσην βούλεται, δύναμιν ἐκέλευσε, καὶ μὴ θρασύνεσθαι λόγοις ἀκινδύνοις, ἀλλ' ἔργον τι τῇ πόλει παρασχεῖν ἄξιον σπουδῆς. Ὁ δὲ τὸ μὲν πρῶτον ἀνεδύετο, τῷ μὴ προσδοκῆσαι τοῦτο θορυβούμενος· ἐγκελευομένων δὲ ταῦτα τῶν Ἀθηναίων, καὶ τοῦ Νικίου καταβοῶντος, ἐξαρθεὶς καὶ ἀναφλεχθεὶς τὸ φιλότιμον, ὑπεδέξατό τε τὴν στρατηγίαν, καὶ προσδιωρίσατο, πλεύσας, ἐντὸς ἡμερῶν εἴκοσιν ἢ κατακτενεῖν ἐκεῖ τοὺς ἄνδρας, ἢ ζῶντας ἄξειν Ἀθήναζε. Τοῖς δ' Ἀθηναίοις ἐπῆλθε γελάσαι μέγα μᾶλλον, ἢ πιστεῦσαι· καὶ γὰρ ἄλλως εἰώθεσαν αὐτοῦ τὴν κουφότητα καὶ μανίαν φέρειν μετὰ παιδιᾶς οὐκ ἀηδῶς. Λέγεται γάρ, ἐκκλησίας ποτὲ οὔσης, τὸν μὲν δῆμον καθήμενον ἄνω περιμένειν πολὺν χρόνον, ὀψὲ δ' εἰσελθεῖν ἐκεῖνον ἐστεφανωμένον, καὶ παρακαλεῖν ὑπερθέσθαι τὴν ἐκκλησίαν εἰς αὔριον. „Ἀσχολοῦμαι γὰρ (ἔφη) σήμερον, ἑστιᾶν μέλλων ξένους, καὶ τεθυκὼς

НБ ОНУ імені І.І. Мечникова

τοῖς θεοῖς." Τοὺς δ' Ἀθηναίους γελάσαντας, ἀναστῆναι καὶ διαλῦσαι τὴν ἐκκλησίαν.

VIII. Οὐ μὴν ἀλλὰ καὶ τότε τύχῃ χρησάμενος ἀγαθῇ, καὶ στρατηγήσας ἄριστα μετὰ Δημοσθένους, ἐντὸς οὗ προεῖπε χρόνου, τῶν Σπαρτιατῶν ὅσοι μὴ κατὰ τὴν μάχην ἔπεσον, τὰ ὅπλα παραδόντας ἤνεγκεν αἰχμαλώτους. Καὶ τοῦτο τῷ Νικίᾳ μεγάλην ἤνεγκεν ἀδοξίαν. Οὐ γὰρ ἀσπίδος ῥίψις, ἀλλ' αἴσχιόν τι καὶ χεῖρον ἐδόκει, τὸ δειλίᾳ τὴν στρατηγίαν ἀποβαλεῖν ἑκουσίως, καὶ προέσθαι τῷ ἐχθρῷ τηλικούτου κατορθώματος ἀφορμὰς, αὑτὸν ἀποχειροτονήσαντα τῆς ἀρχῆς. Σκώπτει δ' αὐτὸν εἰς ταῦτα πάλιν Ἀριστοφάνης, ἐν μὲν Ὄρνισιν οὕτω πως λέγων·

*Καὶ μὴν μὰ τὸν Δί' οὐχὶ νυστάζειν γέ πω*
*Ὥρα 'στὶν ἡμῖν, οὐδὲ μελλονικιᾶν.*

ἐν δὲ Γεωργοῖς ταῦτα γράφων.

*Α. Ἐθέλω γεωργεῖν. Β. Εἶτα τίς σε κωλύει;*
*Α. Ὑμεῖς. Ἐπεὶ δίδωμι χιλίας δραχμὰς,*
*Ἐάν με τῶν ἀρχῶν ἀφῆτε. Β. Δεχόμεθα.*
*Δισχίλιαι γάρ εἰσι σὺν ταῖς Νικίου.*

Καὶ μέντοι καὶ τὴν πόλιν ἔβλαψεν οὐ μικρὰ, τῷ Κλέωνι τοσοῦτον προσγενέσθαι δόξης ἐάσας καὶ δυνάμεως· ὑφ' ἧς εἰς βαρὺ φρόνημα καὶ θράσος ἐμπεσὼν ἀκάθεκτον, ἄλλας τε τῇ πόλει προσετρίψατο συμφορὰς, ὧν οὐχ ἥκιστα καὶ αὐτὸς ἀπέλαυσε, καὶ τὸν ἐπὶ τοῦ βήματος κόσμον ἀνελὼν, καὶ πρῶτος ἐν τῷ δημηγορεῖν ἀνακραγὼν, καὶ περισπάσας τὸ ἱμάτιον, καὶ τὸν μηρὸν πατάξας, καὶ δρόμῳ μετὰ

НБ ОНУ імені І.І.Мечникова

τοῦ λέγειν ἅμα χρησάμενος, τὴν ὀλίγον ὕστερον ἅπαντα τὰ πράγματα συγχέασαν εὐχέρειαν καὶ ὀλιγωρίαν τοῦ πρέποντος ἐνεποίησε τοῖς πολιτευομένοις.

IX. Ἤδη δέ που καὶ Ἀλκιβιάδης ἐνεφύετο τηνικαῦτα τοῖς Ἀθηναίοις δημαγωγὸς, οὐχ ὁμοίως ἄκρατος· ἀλλ' οἷον ἡ Αἰγυπτίων χώρα λέγεται δι' ἀρετὴν ἐκφέρειν ὁμοῦ

Φάρμακα, πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά,

οὕτως ἡ Ἀλκιβιάδου φύσις, ἐπ' ἀμφότερα πολλὴ ῥυεῖσα καὶ λαμπρὰ, μεγάλων ἐνέδωκεν ἀρχὰς νεωτερισμῶν. Ὅθεν οὐδ' ἀπαλλαγεὶς τοῦ Κλέωνος ὁ Νικίας, καιρὸν ἔσχε παντάπασιν ἀναπαῦσαι καὶ καταστορέσαι τὴν πόλιν· ἀλλ' εἰς ὁδὸν τὰ πράγματα καταστήσας σωτήριον, ἐξέπεσε, ῥύμῃ καὶ σφοδρότητι τῆς Ἀλκιβιάδου φιλοτιμίας αὖθις ἐξωσθεὶς εἰς τὸν πόλεμον. Ἐπράχθη δὲ οὕτως. Οἱ μάλιστα προσπολεμοῦντες τῇ εἰρήνῃ τῆς Ἑλλάδος Κλέων καὶ Βρασίδας ἦσαν, ὧν ὁ πόλεμος τοῦ μὲν ἀπέκρυπτε τὴν κακίαν, τοῦ δὲ τὴν ἀρετὴν ἐκόσμει. Τῷ μὲν γὰρ ἀδικημάτων μεγάλων, τῷ δὲ κατορθωμάτων ἀφορμὰς παρεῖχε. Τούτων οὖν ἅμα πεσόντων ἐν μάχῃ μιᾷ περὶ Ἀμφίπολιν, εὐθὺς ὁ Νικίας παραλαβὼν τοὺς μὲν Σπαρτιάτας, ἔκπαλαι τῆς εἰρήνης ὀρεγομένους, τοὺς δ' Ἀθηναίους οὐκέτι τῷ πολέμῳ θαῤῥοῦντας, ἀμφοτέρους δ' οἷον ἐκλελυμένους καὶ παρακαθιέντας ἑκουσίως τὰς χεῖρας, ἔπραττεν, ὅπως εἰς φιλίαν τὰς πόλεις συναγαγὼν, καὶ τοὺς ἄλλους Ἕλληνας ἀπαλλάξας κακῶν καὶ ἀναπαυσάμενος, βέβαιον οὕτω τὸ τῆς εὐτυχίας ὄνομα πρὸς

τὸν αὖθις χρόνον ποιοῖτο. Τοὺς μὲν οὖν εὐπόρους καὶ πρεσβυτέρους, καὶ τῶν γεωργῶν τὸ πλῆθος αὐτόθεν εἰρηνικὸν εἶχεν. Ἐπεὶ δὲ καὶ τῶν ἄλλων πολλοῖς ἐντυγχάνων ἰδίᾳ, καὶ διδάσκων, ἀμβλυτέρους ἐποίησε πρὸς τὸν πόλεμον, οὕτως ἤδη τοῖς Σπαρτιάταις ἐλπίδας ἐνδιδοὺς, προεκαλεῖτο καὶ προὔτρεπεν ἔχεσθαι τῆς εἰρήνης. Οἱ δ' ἐπίστευον αὐτῷ, διά τε τὴν ἄλλην ἐπιείκειαν, καὶ ὅτι τοῖς ἡλωκόσι περὶ Πύλον καὶ δεδεμένοις, ἐπιμελόμενος καὶ περιέπων φιλανθρώπως, ἐλαφροτέραν ἐποίει τὴν ἀτυχίαν. Ἦσαν οὖν πρότερον πεποιημένοι τινὰ πρὸς ἀλλήλους ἐκεχειρίαν ἐνιαύσιον, ἐν ᾗ συνιόντες εἰς ταὐτὸ, καὶ γευόμενοι πάλιν ἀδείας καὶ σχολῆς, καὶ πρὸς ξένους καὶ οἰκείους ἐπιμιξίας, ἐπόθουν τὸν ἀμίαντον, καὶ ἀπόλεμον βίον· ἡδέως μὲν ᾀδόντων τὰ τοιαῦτα χορῶν ἀκούοντες·

Κείσθω δόρυ μοι μίτον ἀμφιπλέκειν ἀράχναις·

ἡδέως δὲ μεμνημένοι τοῦ εἰπόντος, ὅτι τοὺς ἐν εἰρήνῃ καθεύδοντας οὐ σάλπιγγες, ἀλλ' ἀλεκτρυόνες ἀφυπνίζουσι. Λοιδοροῦντες οὖν καὶ προβαλλόμενοι τοὺς λέγοντας, ὡς τρὶς ἐννέα ἔτη διαπολεμηθῆναι πέπρωται τὸν πόλεμον, ἔπειθ' οὕτω περὶ παντὸς εἰς λόγους συμβάλλοντες, ἐποιήσαντο τὴν εἰρήνην· δόξα τε παρέστη τοῖς πλείστοις, ἀπαλλαγὴν κακῶν σαφῆ γεγονέναι, καὶ τὸν Νικίαν διὰ στόματος εἶχον, ὡς ἀνὴρ εἴη θεοφιλὴς, καὶ τὸ δαιμόνιον αὐτῷ δι' εὐσέβειαν ἐπωνύμῳ γενέσθαι τοῦ μεγίστου καὶ καλλίστου τῶν ἀγαθῶν δέδωκε. Τῷ γὰρ ὄντι Νικίου τὴν εἰρήνην

НБ ОНУ імені І.І.Мечникова

ἐνόμιζον ἔργον, ὡς Περικλέους τὸν πόλεμον. Ὁ μὲν γὰρ ἐπ' αἰτίαις μικραῖς εἰς συμφορὰς μεγάλας ἐμβαλεῖν ἐδόκει τοὺς Ἕλληνας· ὁ δὲ τῶν μεγίστων κακῶν ἔπεισεν ἐκλαθέσθαι, φίλους γενομένους. Διὸ καὶ τὴν εἰρήνην ἐκείνην ἄχρι νῦν Νικίειον καλοῦσι.

X. Γενομένων δὲ συνθηκῶν, ὅπως τὰ χωρία καὶ τὰς πόλεις, ἃς εἶχον, ἀλλήλων καὶ τοὺς αἰχμαλώτους ἀποδιδῶσι, προτέρων ἀποδιδόντων τῶν κλήρῳ λαχόντων, ὠνήσατο τὸν κλῆρον ὁ Νικίας κρύφα χρήμασιν, ὥστε προτέρους ἀποδιδόναι τοὺς Λακεδαιμονίους. Καὶ τοῦτο μὲν ἱστορεῖ Θεόφραστος. Ἐπεὶ δὲ Κορίνθιοι καὶ Βοιωτοὶ πρὸς τὰ πραττόμενα δυσκολαίνοντες, αἰτίαις καὶ μέμψεσιν αὖθις ἐδόκουν ἀνακαλεῖσθαι τὸν πόλεμον, ἔπεισεν ὁ Νικίας τοὺς Ἀθηναίους καὶ Λακεδαιμονίους, τῇ εἰρήνῃ τὴν συμμαχίαν, ὥσπερ κράτος, ἢ δεσμὸν, ἐπιθέντας, φοβερωτέρους τε τοῖς ἀφισταμένοις καὶ βεβαιοτέρους ἀλλήλοις γενέσθαι. Πραττομένων δὲ τούτων, ὁ Ἀλκιβιάδης, οὔτε πρὸς ἡσυχίαν εὖ πεφυκὼς καὶ τοῖς Λακεδαιμονίοις ἀχθόμενος, ὅτι τῷ Νικίᾳ προσέκειντο καὶ προσεῖχον, αὐτὸν δ' ὑπερεώρων καὶ κατεφρόνουν, ἐν ἀρχῇ μὲν εὐθὺς ὑπεναντιωθεὶς τῇ εἰρήνῃ καὶ ἀντιστὰς οὐδὲν ἐπέραινεν· ὀλίγῳ δ' ὕστερον ὁρῶν οὐκ ἔτι τοῖς Ἀθηναίοις ὁμοίως ἀρέσκοντας τοὺς Λακεδαιμονίους, ἀλλ' ἀδικεῖν δοκοῦντας, ὅτι Βοιωτοῖς ἔθεντο συμμαχίαν, καὶ Πάνακτον ἑστῶσαν οὐ παρέδωκαν, οὐδ' Ἀμφίπολιν, ἐπεφύετο ταῖς αἰτίαις καὶ παρώξυνε τὸν δῆμον ἐφ' ἑκάστῃ. Τέλος δὲ, πρεσβείαν μεταπεμψάμενος

НБ ОНУ імені І.І.Мечникова

Ἀργείων, ἔπραττε συμμαχίαν πρὸς τοὺς Ἀθηναίους. Ἐπεὶ δὲ πρέσβεις, ἐλθόντες ἐκ Λακεδαίμονος αὐτοκράτορες, καὶ τῇ βουλῇ προσεντυγχάνοντες, ἔδοξαν ἐπὶ πᾶσιν ἥκειν τοῖς δικαίοις, δείσας ὁ Ἀλκιβιάδης, μὴ καὶ τὸν δῆμον ἀπὸ τῶν αὐτῶν λόγων ἐπαγάγωνται, περιῆλθεν αὐτοὺς δι᾿ ἀπάτης καὶ ὅρκων, ὡς ἅπαντα συμπράξων, ἂν μὴ φῶσι, μηδ᾿ ὁμολογήσωσιν ἥκειν αὐτοκράτορες· μάλιστα γὰρ οὕτως, ἃ βούλονται, γενήσεσθαι. Πεισθέντων δὲ, καὶ μεταστάντων ἀπὸ τοῦ Νικίου πρὸς ἐκεῖνον, ἐμβαλὼν αὐτοὺς εἰς τὸν δῆμον, ἠρώτα πρῶτον, εἰ περὶ πάντων ἥκουσιν αὐτοκράτορες· ὡς δ᾿ ἠρνοῦντο, παρ᾿ ἐλπίδας μεταβαλόμενος, τήν τε βουλὴν ἐπεκαλεῖτο μάρτυρα τῶν λόγων, καὶ τὸν δῆμον ἐκέλευε μὴ προσέχειν, μηδὲ πιστεύειν οὕτω περιφανῶς ψευδομένοις, καὶ νῦν μὲν ταῦτα, νῦν δὲ τἀναντία, περὶ τῶν αὐτῶν λέγουσι. Θορυβουμένων δ᾿, ὡς εἰκὸς, αὐτῶν, καὶ τοῦ Νικίου μηδὲν ἔχοντος εἰπεῖν, ἀλλ᾿ ἄχει καὶ θαύματι πεπληγότος, ὁ μὲν δῆμος εὐθὺς ὥρμητο τοὺς Ἀργείους καλεῖν καὶ ποιεῖσθαι συμμάχους· ἐβοήθησε δὲ τῷ Νικίᾳ σεισμός τις διὰ μέσου γενόμενος, καὶ διαλύσας τὴν ἐκκλησίαν. Τῇ δ᾿ ὑστεραίᾳ πάλιν τοῦ δήμου συνελθόντος, πολλὰ ποιήσας καὶ εἰπὼν, ἔπεισε μόλις ἐπισχεῖν τὰ πρὸς Ἀργείους, αὐτὸν δὲ πέμψαι πρὸς Λακεδαιμονίους, ὡς πάντων καλῶς γενησομένων. Ἐλθὼν δ᾿ εἰς Σπάρτην, τἄλλα μὲν, ὡς ἀνὴρ ἀγαθὸς καὶ πρόθυμος εἰς αὐτοὺς, ἐτιμήθη, πράξας δ᾿ οὐδὲν, ἀλλὰ κρατηθεὶς ὑπὸ τῶν βοιωτιαζόντων, ἐπανῆλθεν,

οὐ μόνον ἀδοξῶν καὶ κακῶς ἀκούων, ἀλλὰ καὶ δεδιὼς τοὺς Ἀθηναίους, λυπουμένους καὶ ἀγανακτοῦντας, ὅτι, πεισθέντες ὑπ᾽ ἐκείνου, τοσούτους καὶ τοιούτους ἄνδρας ἀπέδωκαν. Οἱ γὰρ ἐκ Πύλου κομισθέντες ἦσαν ἐξ οἴκων τε πρώτων τῆς Σπάρτης, καὶ φίλους καὶ συγγενεῖς τοὺς δυνατωτάτους ἔχοντες. Οὐ μὴν ἔπραξάν τι τραχύτερον ὀργῇ πρὸς ἐκεῖνον, ἀλλὰ τὸν Ἀλκιβιάδην στρατηγὸν εἵλοντο, καὶ Μαντινεῖς καὶ Ἠλείους, Λακεδαιμονίων ἀποστάντας, ἐποιήσαντο συμμάχους μετ᾽ Ἀργείων, καὶ λῃστὰς εἰς Πύλον ἔπεμψαν, κακουργεῖν τὴν Λακωνικήν· ἐξ ὧν αὖθις εἰς πόλεμον κατέστησαν.

XI. Ἀκμαζούσης δὲ τῆς πρὸς τὸν Νικίαν τοῦ Ἀλκιβιάδου διαφορᾶς, καὶ γιγνομένης ὀστρακοφορίας, ἣν εἰώθει διὰ χρόνου τινὸς ὁ δῆμος ποιεῖσθαι, ἕνα τῶν ὑπόπτων, ἢ διὰ δόξαν ἄλλως, ἢ πλοῦτον, ἐπιφθόνων ἀνδρῶν, τῷ ὀστράκῳ μεθιστὰς εἰς δέκα ἔτη, πολὺς θόρυβος ἀμφοτέροις περιΐστατο, καὶ κίνδυνος, ὡς θατέρου πάντως ὑποπεσουμένου τῷ ἐξοστρακισμῷ. Τοῦ μὲν γὰρ Ἀλκιβιάδου καὶ τὸν βίον ἐβδελύττοντο, καὶ τὸ θράσος ὠῤῥώδουν, ὡς μᾶλλον ἐν τοῖς περὶ ἐκείνου γραφομένοις δηλοῦται· τὸν δὲ Νικίαν ὅ τε πλοῦτος ἐπίφθονον ἐποίει, καὶ μάλιστα τῆς διαίτης τὸ μὴ φιλάνθρωπον, μηδὲ δημοτικὸν, ἀλλ᾽ ἄμικτον, καὶ ὀλιγαρχικὸν, ἀλλόκοτον ἐδόκει. Πολλὰ δ᾽ ἤδη ταῖς ἐπιθυμίαις αὐτῶν ἀντιτείνων παρὰ γνώμην, καὶ βιαζόμενος πρὸς τὸ συμφέρον, ἐπαχθὴς ἦν. Ὡς δ᾽ ἁπλῶς εἰπεῖν, νέων ἦν καὶ πολεμοποιῶν ἅμιλλα πρὸς

НБ ОНУ імені І.І. Мечникова

εἰρηνοποιοὺς καὶ πρεσβυτέρους, τῶν μὲν εἰς τοῦτον, τῶν δ᾽ εἰς ἐκεῖνον τὸ ὄστρακον τρεπόντων.

Ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκακος ἔμμορε τιμῆς·

ὥς που καὶ τότε διαστὰς ὁ δῆμος δίχα, χώραν ἔδωκε τοῖς ἰταμωτάτοις καὶ πανουργοτάτοις. Ὧν ἦν καὶ Ὑπέρβολος ὁ Περιθοίδης, ἄνθρωπος ἀπ᾽ οὐδεμιᾶς τολμῶν δυνάμεως, ἀλλ᾽ ἀπὸ τοῦ τολμᾶν εἰς δύναμιν προελθὼν, καὶ γενόμενος, δι᾽ ἣν εἶχεν ἐν τῇ πόλει δόξαν, ἀδοξία τῆς πόλεως. Οὗτος ἐν τῷ τότε χρόνῳ τοῦ μὲν ὀστράκου πόῤῥω τιθέμενος ἑαυτὸν, ἅτε δὴ τῷ κύφωνι μᾶλλον προσήκων, ἐλπίζων δὲ, θατέρου τῶν ἀνδρῶν ἐκπεσόντος, αὐτὸς ἀντίπαλος τῷ λειπομένῳ γενέσθαι, καταφανὴς ἦν ἡδόμενός τε τῇ διαφορᾷ, καὶ παροξύνων τὸν δῆμον ἐπ᾽ ἀμφοτέρους. Συνιδόντες οὖν τὴν μοχθηρίαν οἱ περὶ τὸν Νικίαν καὶ τὸν Ἀλκιβιάδην, καὶ λόγον δόντες ἀλλήλοις κρύφα, καὶ τὰς στάσεις συναγαγόντες εἰς ἓν ἀμφοτέρας καὶ ἀναμίξαντες, ἐκράτησαν, ὥστε μηδέτερον αὐτῶν, ἀλλὰ τὸν Ὑπέρβολον ἐξοστρακισθῆναι. Καὶ παραυτίκα μὲν ἡδονὴν τοῦτο καὶ γέλωτα τῷ δήμῳ παρέσχεν, ὕστερον δ᾽ ἠγανάκτουν, ὡς καθυβρισμένον τὸ πρᾶγμα τοῦτο πρὸς ἄνθρωπον ἀνάξιον γεγονέναι νομίζοντες. Εἶναι γάρ τι καὶ κολάσεως ἀξίωμα, μᾶλλον δὲ κόλασιν τὸν ἐξοστρακισμὸν ἡγούμενοι Θουκυδίδῃ καὶ Ἀριστείδῃ, καὶ τοῖς ὁμοίοις, Ὑπερβόλῳ δὲ τιμὴν καὶ προσποίησιν ἀλαζονείας, εἰ διὰ μοχθηρίαν ταῦτα ἔπαθε τοῖς ἀρίστοις· ὥς που καὶ Πλάτων ὁ κωμικὸς εἴρηκε περὶ αὐτοῦ·

НБ ОНУ імені І.І. Мечникова

*Καίτοι πέπραχε τῶν τρόπων μὲν ἄξια,*
*Αὐτοῦ δὲ καὶ τῶν στιγμάτων ἀνάξια.*
*Οὐ γὰρ τοιούτων εἵνεκ' ὄστραχ' εὑρέθη.*

Καὶ τὸ πέρας οὐδεὶς ἔτι τὸ παράπαν ἐξωστρακίσθη μετὰ Ὑπέρβολον, ἀλλ' ἔσχατος ἐκεῖνος· πρῶτος δ' Ἵππαρχος ὁ Χολαργεὺς, συγγενής τις ὢν τοῦ τυράννου. Ἄκριτον δ' ἡ τύχη πρᾶγμα καὶ ἄληπτον λογισμῷ. Νικίας γὰρ, εἰ τὸν περὶ ὀστράκου κίνδυνον ἀνέρριψε πρὸς τὸν Ἀλκιβιάδην, ἢ κρατήσας ἂν ἀσφαλῶς ᾤκει τὴν πόλιν ἐκεῖνον ἐξελάσας, ἢ κρατηθεὶς αὐτὸς ἐξῄει, πρὸ τῶν ἐσχάτων ἀτυχιῶν τὸ δοκεῖν ἄριστος εἶναι στρατηγὸς διαφυλάξας. Οὐκ ἀγνοῶ δ', ὅτι Θεόφραστος ἐξοστρακισθῆναί φησι τὸν Ὑπέρβολον, Φαίακος, οὐ Νικίου, πρὸς Ἀλκιβιάδην ἐρίσαντος. Ἀλλ' οἱ πλείονες οὕτω γεγράφασιν.

XII. Ὁ γοῦν Νικίας, τῶν Αἰγεστέων πρέσβεων καὶ Λεοντίνων παραγενομένων, καὶ πειθόντων τοὺς Ἀθηναίους στρατεύειν ἐπὶ Σικελίαν, ἀνθιστάμενος ἡττᾶτο τῆς βουλῆς Ἀλκιβιάδου καὶ φιλοτιμίας, πρὶν ὅλως ἐκκλησίαν γενέσθαι, κατασχόντος ἤδη πλῆθος ἐλπίσι καὶ λόγοις προδιεφθαρμένον· ὥστε καὶ νέους ἐν παλαίστραις, καὶ γέροντας ἐν ἐργαστηρίοις καὶ ἡμικυκλίοις συγκαθεζομένους, ὑπογράφειν τὸ σχῆμα τῆς Σικελίας, καὶ τὴν φύσιν τῆς περὶ αὐτὴν θαλάσσης, καὶ λιμένας καὶ τόπους, οἷς τέτραπται πρὸς Λιβύην ἡ νῆσος. Οὐ γὰρ ἆθλον ἐποιοῦντο τοῦ πολέμου Σικελίαν, ἀλλ' ὁρμητήριον, ὡς ἀπ' αὐτῆς διαγωνισόμενοι πρὸς Καρχηδονίους, καὶ σχήσοντες ἅμα Λι-

βύην καὶ τὴν ἐντὸς Ἡρακλείων στηλῶν θάλασσαν. Ὡς οὖν ὥρμηντο πρὸς ταῦτα, ὁ Νικίας ἐναντιούμενος, οὔτε πολλοὺς, οὔτε δυνατοὺς εἶχε συναγωνιστάς. Οἱ γὰρ εὔποροι, δεδιότες, μὴ δοκῶσι τὰς λειτουργίας καὶ τριηραρχίας ἀποδιδράσκειν, παρὰ γνώμην ἡσύχαζον. Ὁ δ᾽ οὐκ ἔκαμνεν, οὐδ᾽ ἀπηγόρευεν, ἀλλὰ μετὰ τὸ ψηφίσασθαι τὸν πόλεμον Ἀθηναίους, καὶ στρατηγὸν ἑλέσθαι πρῶτον ἐκεῖνον μετ᾽ Ἀλκιβιάδου καὶ Λαμάχου, πάλιν ἐκκλησίας γενομένης, ἀναστὰς ἀπέτρεπε καὶ διεμαρτύρετο· καὶ τελευτῶν διέβαλλε τὸν Ἀλκιβιάδην, ἰδίων ἕνεκα κερδῶν καὶ φιλοτιμίας τὴν πόλιν εἰς χαλεπὸν ἐξωθεῖν καὶ διαπόντιον κίνδυνον. Ἔπραξε δ᾽ οὐδὲν μᾶλλον, ἀλλ᾽ ὑπ᾽ ἐμπειρίας δόξας ἐπιτηδειότερος εἶναι καὶ πολλὴν ἀσφάλειαν ἕξειν, πρὸς τὴν Ἀλκιβιάδου τόλμαν καὶ τὴν Λαμάχου θρασύτητα τῆς ἐκείνου συγκεραννυμένης εὐλαβείας, βεβαιοτέραν ἐποίησε τὴν χειροτονίαν. Ἀναστὰς γὰρ ὁ μάλιστα τῶν δημαγωγῶν ἐπὶ τὸν πόλεμον παροξύνων τοὺς Ἀθηναίους Δημόστρατος, ἔφη τὸν Νικίαν προφάσεις λέγοντα παύσειν· καὶ ψήφισμα γράψας, ὅπως αὐτοκράτορες ὦσιν οἱ στρατηγοὶ κἀνταῦθα κἀκεῖ, βουλευόμενοι καὶ πράττοντες, ἔπεισε τὸν δῆμον ψηφίσασθαι.

VIII. Καίτοι λέγεται πολλὰ καὶ παρὰ τῶν ἱερέων ἐναντιοῦσθαι πρὸς τὴν στρατείαν· ἀλλ᾽ ἑτέρους ἔχων μάντεις ὁ Ἀλκιβιάδης ἔκ δή τινων λογίων προὔφερε παλαιῶν, μέγα κλέος τῶν Ἀθηναίων ἀπὸ Σικελίας ἔσεσθαι. Καὶ θεοπρόποι τινὲς αὐτῷ παρ᾽ Ἄμμωνος

ἀφίκοντο, χρησμὸν κομίζοντες, ὡς λήψονται Συρακουσίους ἅπαντας Ἀθηναῖοι. Τὰ δ' ἐναντία, φοβούμενοι δυσφημεῖν, ἔκρυπτον. Οὐδὲ γὰρ τὰ προῦπτα καὶ καταφανῆ τῶν σημείων ἀπέτρεπεν, ἥ τε τῶν Ἑρμῶν περικοπὴ, μιᾷ νυκτὶ πάντων ἀκρωτηριασθέντων, πλὴν ἑνὸς, ὃν Ἀνδοκίδου καλοῦσιν, ἀνάθημα μὲν τῆς Αἰγηΐδος φυλῆς, κείμενον δὲ πρὸ τῆς τότε οὔσης Ἀνδοκίδου οἰκίας· καὶ τὸ πραχθὲν περὶ τὸν βωμὸν τῶν δώδεκα θεῶν. Ἄνθρωπος γάρ τις ἐξαίφνης ἀναπηδήσας ἐπ' αὐτὸν, εἶτα περιβὰς ἀπέκοψεν αὑτοῦ λίθῳ τὸ αἰδοῖον. Ἐν δὲ Δελφοῖς Παλλάδιον ἕστηκε χρυσοῦν, ἐπὶ φοίνικος χαλκοῦ βεβηκὸς, ἀνάθημα τῆς πόλεως ἀπὸ τῶν Μηδικῶν ἀριστείων. Τοῦτ' ἔκοπτον ἐφ' ἡμέρας πολλὰς προσπετόμενοι κόρακες, καὶ τὸν καρπὸν ὄντα χρυσοῦν τοῦ φοίνικος ἀπέτρωγον καὶ κατέβαλλον. Οἱ δὲ ταῦτα μὲν ἔφασαν εἶναι Δελφῶν πλάσματα πεπεισμένων ὑπὸ Συρακουσίων. Χρησμοῦ δέ τινος κελεύοντος αὐτοὺς ἐκ Κλαζομενῶν τὴν ἱέρειαν τῆς Ἀθηνᾶς ἄγειν, μετεπέμψαντο τὴν ἄνθρωπον· ἐκαλεῖτο δὲ Ἡσυχία. Καὶ τοῦτ' ἦν, ὡς ἔοικεν, ὃ παρῄνει τῇ πόλει τὸ δαιμόνιον, ἐν τῷ παρόντι τὴν ἡσυχίαν ἄγειν. Εἴτε δὴ ταῦτα δείσας, εἴτ' ἀνθρωπίνῳ λογισμῷ τὴν στρατείαν φοβηθεὶς ὁ ἀστρολόγος Μέτων, (ἦν γὰρ ἐφ' ἡγεμονίας τινὸς τεταγμένος) προσεποιεῖτο τὴν οἰκίαν ὑφάπτειν, ὡς μεμηνώς. Οἱ δὲ φασιν, οὐ μανίαν σκηψάμενον, ἀλλὰ νύκτωρ ἐμπρήσαντα τὴν οἰκίαν, προελθεῖν εἰς τὴν ἀγορὰν ταπεινὸν, καὶ δεῖσθαι τῶν πολιτῶν, ὅπως ἐπὶ συμφορᾷ τοσαύτῃ

τὸν υἱὸν αὐτοῦ, μέλλοντα πλεῖν τριήραρχον εἰς Σικελίαν, ἀφῶσι τῆς στρατείας. Σωκράτει δὲ τῷ σοφῷ τὸ δαιμόνιον, οἷς εἰώθει συμβόλοις χρησάμενον πρὸς αὐτὸν, ἐμήνυσε κἀκεῖνον τὸν ἔκπλουν ἐπ' ὀλέθρῳ τῆς πόλεως πραττόμενον. Ὁ δὲ τοῖς συνήθεσι καὶ φίλοις ἔφρασε, καὶ διῆλθεν εἰς πολλοὺς ὁ λόγος. Οὐκ ὀλίγους δὲ καὶ τὰ τῶν ἡμερῶν, ἐν αἷς τὸν στόλον ἐξέπεμπον, ὑπέθραττεν. Ἀδώνια γὰρ ἦγον αἱ γυναῖκες τότε, καὶ προὔκειτο πολλαχόθι τῆς πόλεως εἴδωλα, καὶ ταφαὶ περὶ αὐτὰ, καὶ κοπετοὶ γυναικῶν ἦσαν, ὥστε τοὺς ἐν λόγῳ ποιουμένους τινὶ τὰ τοιαῦτα δυσχεραίνειν καὶ δεδιέναι περὶ τῆς παρασκευῆς ἐκείνης καὶ δυνάμεως, μὴ λαμπρότητα καὶ ἀκμὴν ἐπιφανεστάτην σχοῦσα ταχέως μαρανθῇ.

XIV Τὸ μὲν οὖν ἐναντιωθῆναι ψηφιζομένῃ τῇ στρατείᾳ τὸν Νικίαν, καὶ μήθ' ὑπ' ἐλπίδων ἐπαρθέντα, μήτε πρὸς τὸ τῆς ἀρχῆς μέγεθος ἐκπλαγέντα, μεταθέσθαι τὴν γνώμην, ἀνδρὸς ἦν χρηστοῦ καὶ σώφρονος. Ἐπεὶ δ' οὔτε τοῦ πολέμου τὸν δῆμον ἀποτρέψαι πειρώμενος, οὔθ' αὑτὸν ἐξελέσθαι τῆς στρατηγίας δεόμενος, ἴσχυσεν, ἀλλ' ὥσπερ ἀράμενος καὶ φέρων αὐτὸν ὁ δῆμος ἐπέθηκε τῇ δυνάμει στρατηγὸν, οὐδεὶς ἔτι καιρὸς ἦν τῆς πολλῆς εὐλαβείας καὶ μελλήσεως, ὥστε παιδὸς δίκην ἀπὸ τῆς νεὼς ὀπίσω βλέποντα, καὶ τὸ μὴ κρατηθῆναι τοῖς λογισμοῖς ἀναλαμβάνοντα καὶ στρέφοντα πολλάκις, ἐναμβλῦναι καὶ τοὺς συνάρχοντας αὐτῷ, καὶ τὴν ἀκμὴν διαφθεῖραι τῶν πράξεων· ἀλλ' εὐθὺς ἔδει τοῖς πο-

λεμίοις ἐμφύντα καὶ προσκείμενον, ἐλέγχειν τὴν τύχην ἐπὶ τῶν ἀγώνων. Ὁ δὲ, Λαμάχου μὲν ἄντικρυς ἀξιοῦντος πλεῖν ἐπὶ Συρακούσας, καὶ μάχην ἔγγιστα τῆς πόλεως τιθέναι, Ἀλκιβιάδου δὲ τὰς πόλεις ἀφιστάναι Συρακουσίων, εἶθ᾽ οὕτως ἐπ᾽ αὐτοὺς βαδίζειν, τὰ ἐναντία λέγων, καὶ κελεύων, ἀτρέμα παρὰ τὴν Σικελίαν κομιζομένους καὶ περιπλέοντας, ἐπιδείξασθαι τὰ ὅπλα καὶ τὰς τριήρεις, εἶτ᾽ ἀποπλεῖν Ἀθήναζε, μικρὸν τῆς δυνάμεως Αἰγεστεῦσιν ἀπαρξαμένους, αὐτίκα τε τὴν γνώμην ὑπεξέλυσε, καὶ κατέβαλε τὸ φρόνημα τῶν ἀνδρῶν. Καὶ μετ᾽ ὀλίγον χρόνον, Ἀλκιβιάδην Ἀθηναίων μεταπεμψαμένων εἰς κρίσιν, λόγῳ μὲν ἀποδειχθεὶς δεύτερος ἡγεμὼν, δυνάμει δὲ μόνος ὢν, οὐκ ἐπαύσατο καθήμενος, ἢ περιπλέων, ἢ βουλευόμενος, πρὶν ἐγγηρᾶσαι μὲν αὐτῷ τὴν ἀκμὴν τῆς ἐλπίδος, ἐκρυῆναι δὲ τῶν πολεμίων τὸ θάμβος καὶ τὸν φόβον, ὃν ἡ πρώτη παρέθηκεν αὐτοῖς ὄψις τῶν δυνάμεων. Ἔτι δὲ τοῦ Ἀλκιβιάδου παρόντος, ἑξήκοντα ναυσὶ πλεύσαντες ἐπὶ Συρακούσας, τὰς μὲν ἄλλας ἀνεῖχον, ὑπὲρ τοῦ λιμένος ἔξω παρατάξαντες, δέκα δὲ κατήλαυνον εἴσω κατασκοπῆς εἵνεκα· καὶ Λεοντίνους ἐπὶ τὴν οἰκείαν ἀποκαλοῦσαι διὰ κήρυκος αὗται, λαμβάνουσι ναῦν πολεμίαν σανίδας κομίζουσαν, εἰς ἃς ἀπεγράφοντο κατὰ φυλὰς αὑτοὺς οἱ Συρακούσιοι. Κείμεναι δ᾽ ἄπωθεν τῆς πόλεως ἐν ἱερῷ Διὸς Ὀλυμπίου, τότε πρὸς ἐξέτασιν καὶ κατάλογον τῶν ἐν ἡλικίᾳ μετεπέμφθησαν. Ὡς οὖν ὑπὸ τῶν Ἀθηναίων ἁλοῦσαι πρὸς τοὺς



НБ ОНУ імені І.І. Мечникова

στρατηγοὺς ἐκομίσθησαν, καὶ τὸ πλῆθος ὤφθη τῶν ὀνομάτων, ἠχθέσθησαν οἱ μάντεις, μή ποτε ἄρα τὸ χρεὼν ἐνταῦθα τοῦ χρησμοῦ περαίνοι, λέγοντες, ὡς Ἀθηναῖοι λήψονται Συρακουσίους ἅπαντας. Οὐ μὴν ἀλλ' ἑτέρῳ φασὶν ἔργον τοῦτο τοῖς Ἀθηναίοις γενέσθαι ἐπιτελὲς, καθ' ὃν χρόνον ἀποκτείνας Δίωνα Κάλλιππος ὁ Ἀθηναῖος ἔσχε Συρακούσας.

XV. Ἀποπλεύσαντος δὲ τοῦ Ἀλκιβιάδου μετ' ὀλίγον ἐκ Σικελίας, τὸ πᾶν ἤδη κράτος ὁ Νικίας ἔσχεν. Ὁ δὲ Λάμαχος ἦν μὲν ἀνδρώδης καὶ δίκαιος ἀνὴρ, καὶ τῇ χειρὶ χρώμενος ἀφειδῶς κατὰ τὰς μάχας· πένης δὲ τοσοῦτον καὶ λιτὸς, ὥστε καθ' ἑκάστην στρατηγίαν ἀπολογίζεσθαι τοῖς Ἀθηναίοις μικρὸν ἀργύριον εἰς ἐσθῆτα καὶ κρηπῖδας ἑαυτῷ. Τοῦ δὲ Νικίου καὶ διὰ τἄλλα μέγας ἦν, καὶ διὰ τὸν πλοῦτον καὶ τὴν δόξαν, ὁ ὄγκος. Λέγεται δ' ἐν τῷ στρατηγίῳ ποτὲ βουλευομένων τι κοινῇ τῶν συναρχόντων, κελευσθεὶς ὑπ' αὐτοῦ πρῶτος εἰπεῖν γνώμην Σοφοκλῆς ὁ ποιητὴς, ὡς πρεσβύτατος ὢν τῶν συστρατηγῶν· Ἐγὼ, φάναι, παλαιότατός εἰμι, σὺ δὲ πρεσβύτατος. Οὕτω δὴ καὶ τότε τὸν Λάμαχον ἄγων ὑφ' ἑαυτῷ, στρατηγικώτερον ὄντα, καὶ χρώμενος εὐλαβῶς καὶ διὰ μελλήσεως ἀεὶ τῇ δυνάμει, πρῶτον μὲν ἀπωτάτω τῶν πολεμίων ἐκπεριπλέων Σικελίαν, θάρσος ἔδωκεν αὐτοῖς, ἔπειτα προσβαλὼν Ὕβλῃ, πολιχνίῳ μικρῷ, καὶ πρὶν ἑλεῖν ἀποστὰς, κομιδῇ κατεφρονήθη. Καὶ τέλος εἰς Κατάνην ἀπῆλθε, πράξας οὐδὲν, ἢ καταστρεψάμενος Ὕκκαρα, βαρβαρικὸν χωρίον· ὅθεν λέγεται

καὶ Λαΐδα, τὴν ἑταίραν, ἔτι κόρην ἐν τοῖς αἰχμαλώτοις πραθεῖσαν, εἰς Πελοπόννησον κομισθῆναι.

XVI. Τοῦ δὲ θέρους διελθόντος, ἐπεὶ τοὺς Συρακουσίους ἐπυνθάνετο προτέρους ἐπ' αὐτοὺς ἀφίξεσθαι τεθαῤῥηκότας· οἱ δ' ἱππεῖς, ὕβρει προσελαύνοντες ἤδη πρὸς τὸ στρατόπεδον, ἠρώτων, εἰ Καταναίοις συνοικήσοντες, ἢ Λεοντίνους κατοικιοῦντες ἥκουσιν, μόλις ὁ Νικίας ὥρμησε πλεῖν ἐπὶ Συρακούσας. Καὶ βουλόμενος ἀδεῶς καὶ καθ' ἡσυχίαν ἱδρῦσαι τὸν στρατὸν, ὑπέπεμψεν ἄνθρωπον ἐκ Κατάνης, κελεύοντα τοὺς Συρακουσίους, εἰ βούλονται λαβεῖν ἔρημον ἀνδρῶν τὸ στρατόπεδον, καὶ τὰ ὅπλα τῶν Ἀθηναίων, ἐν ἡμέρᾳ ῥητῇ πρὸς Κατάνην πανστρατιᾷ παραγενέσθαι· τῶν δ' Ἀθηναίων ἐν τῇ πόλει τὰ πλεῖστα διατριβόντων, ἐγνωκέναι τοὺς Συρακουσίων φίλους, ὅταν ἐκείνους προσιόντας αἴσθωνται, τάς τε πύλας καταλαμβάνειν ἅμα, καὶ τὸν ναύσταθμον ὑποπιμπράναι· πολλοὺς δ' εἶναι τοὺς συνεστῶτας ἤδη, καὶ τὴν ἐκείνων περιμένοντας ἄφιξιν. Τοῦτ' ἄριστα Νικίας ἐστρατήγησε περὶ Σικελίαν. Πανστρατιᾷ γὰρ ἐξαγαγὼν τοὺς πολεμίους, καὶ τὴν πόλιν ὁμοῦ τι ποιήσας ἔρημον ἀνδρῶν, αὐτὸς ἐκ Κατάνης ἀναχθεὶς, τῶν τε λιμένων ἐκράτησε, καὶ τῷ στρατοπέδῳ κατέλαβε χώραν, ὅθεν, ἥκιστα βλαπτόμενος οἷς ἐλείπετο τῶν πολεμίων, ἤλπιζεν ἐξ ὧν ἐθάῤῥει πολεμήσειν ἀκωλύτως. Ἐπεὶ δ' ἀναστρέψαντες ἐκ Κατάνης οἱ Συρακούσιοι, παρετάξαντο πρὸ τῆς πόλεως, ἐπαγαγὼν ταχὺ τοὺς Ἀθηναίους

ἐκράτησε. Καὶ πολλοὺς μὲν οὐκ ἀπέκτεινε τῶν πολεμίων· οἱ γὰρ ἱππεῖς ἐμποδὼν ἐγένοντο τῇ διώξει· τοῦ δὲ ποταμοῦ διαφθείρων καὶ ἀποκόπτων τὰς γεφύρας, παρέσχεν Ἑρμοκράτει λέγειν, παραθαῤῥύνοντι τοὺς Συρακουσίους, ὅτι γελοῖός ἐστιν ὁ Νικίας, ὅπως οὐ μαχεῖται στρατηγῶν, ὥσπερ οὐκ ἐπὶ μάχῃ πεπλευκώς. Οὐ μὴν ἀλλὰ φόβον τε καὶ κατάπληξιν ἰσχυρὰν ἐνειργάσατο τοῖς Συρακουσίοις, ὥστ᾽ ἀντὶ τῶν ὄντων τότε πεντεκαίδεκα στρατηγῶν ἑτέρους ἑλέσθαι τρεῖς, οἷς πίστιν ἔδωκεν ὁ δῆμος δι᾽ ὅρκων, ἦ μὴν ἐάσειν ἄρχειν αὐτοκράτορας. Τοῦ δ᾽ Ὀλυμπίου πλησίον ὄντος, ὥρμησαν οἱ Ἀθηναῖοι καταλαβεῖν, πολλῶν ὄντων ἐν αὐτῷ χρυσῶν καὶ ἀργυρῶν ἀναθημάτων. Ὁ δὲ Νικίας ἐπίτηδες ἀναβαλλόμενος ὑστέρησε, καὶ περιεῖδε φρουρὰν εἰσελθοῦσαν παρὰ τῶν Συρακουσίων, ἡγούμενος, ἐὰν τὰ χρήματα διαρπάσωσιν οἱ στρατιῶται, τὸ μὲν κοινὸν οὐκ ὠφελήσεσθαι, τὴν δ᾽ αἰτίαν αὐτὸς ἕξειν τοῦ ἀσεβήματος. Τῇ δὲ νίκῃ περιβοήτῳ γενομένῃ χρησάμενος εἰς οὐδὲν, ὀλίγων ἡμερῶν διαγενομένων, εὐθὺς ἀνεχώρησεν εἰς Νάξον, κἀκεῖ διεχείμασε, πολλὰ μὲν ἀναλίσκων στρατιᾷ τοσαύτῃ, πράττων δὲ μικρὰ πρὸς Σικελούς τινας, ἀφισταμένους πρὸς αὐτόν· ὥστε τοὺς Συρακουσίους αὖθις ἀναθαῤῥήσαντας ἐξελάσαι πρὸς Κατάνην, καὶ τήν τε χώραν τεμεῖν, καὶ τὸ στρατόπεδον κατακαῦσαι τῶν Ἀθηναίων. Ἃ δὴ πάντες ᾐτιῶντο τὸν Νικίαν, ὡς ἐν τῷ διαλογίζεσθαι καὶ μέλλειν, καὶ φυλάττεσθαι, τὸν τῶν πράξεων

ἀπολλύντα καιρόν· ἐπεὶ τάς γε πράξεις οὐδεὶς ἂν ἐμέμψατο τοῦ ἀνδρός. Ὁρμῆσαι γὰρ ἦν ἐνεργὸς καὶ δραστήριος, τολμῆσαι δὲ μελλητὴς καὶ ἄτολμος.

XVII. Ὡς δ' οὖν ἐκίνησε τὴν στρατιὰν πάλιν ἐπὶ τὰς Συρακούσας, οὕτως ἐστρατήγησε, καὶ μετὰ τοσαύτης ὀξύτητος ἅμα καὶ ἀσφαλείας ἐπῆλθεν, ὥστε λαθεῖν μὲν εἰς Θάψον ταῖς ναυσὶ προσμίξας καὶ ἀποβὰς, φθάσαι δὲ τὰς Ἐπιπολὰς κατασχών· τῶν δὲ προσβοηθούντων λογάδων κρατήσας, ἑλεῖν μὲν τριακοσίους, τρέψασθαι δὲ καὶ τὴν ἵππον τῶν πολεμίων, ἄμαχον εἶναι δοκοῦσαν. Ὃ δὲ μάλιστα πάντων καὶ Σικελιώτας ἐξέπληξε, καὶ τοῖς Ἕλλησιν ἀπιστίαν παρέσχεν, ὀλίγῳ χρόνῳ περιετείχισε Συρακούσας, πόλιν Ἀθηνῶν οὐκ ἐλάττονα, δυσεργοτέραν δὲ χωρίων ἀνωμαλίαις, καὶ θαλάσσῃ γειτνιώσῃ, καὶ παρακειμένοις ἕλεσι, τεῖχος κύκλῳ περὶ αὐτὴν τοσοῦτον ἀγαγεῖν. Ἀλλὰ τοῦτ' ἐξεργάσασθαι μικρὸν ἐδέησε τοῦ παντὸς, ἄνθρωπος, οὐδ' ὑγιαίνοντι χρώμενος ἑαυτῷ πρὸς τοσαύτας φροντίδας, ἀλλὰ νόσον νοσῶν νεφρῖτιν, ἧς τὸ μὴ προσεκπονηθὲν λεῖμμα ποιεῖσθαι δίκαιόν ἐστι. Θαυμάζω δὲ τοῦ στρατηγοῦ τὴν ἐπιμέλειαν, καὶ τὴν τῶν στρατιωτῶν ἀνδραγαθίαν, ἐν οἷς κατώρθουν. Ὁ μὲν γὰρ Εὐριπίδης μετὰ τὴν ἧτταν αὐτῶν καὶ τὸν ὄλεθρον, γράφων ἐπικήδειον, ἐποίησεν·

Οἵδε Συρακοσίους ὀκτὼ νίκας ἐκράτησαν
Ἄνδρες, ὅτ' ἦν τὰ θεῶν ἐξίσου ἀμφοτέροις.

Οὐκ ὀκτὼ δὲ νίκας, ἀλλὰ πλείονας ἂν τις εὕροι Συ-

ρακουσίους νενικημένους ὑπ' αὐτῶν, πρὶν ἐκ θεῶν του, ἢ τύχης, ἀντίστασίν τινα γενέσθαι τοῖς Ἀθηναίοις, ἐπὶ πλεῖστον αἰρομένοις δυνάμεως.

XVIII. Ταῖς μὲν οὖν πλείσταις πράξεσι, βιαζόμενος τὸ σῶμα, παρῆν ὁ Νικίας· ἀκμὴν δέ ποτε τῆς ἀῤῥωστίας λαβούσης, ὁ μὲν ἐν τείχεσι μετ' ὀλίγων ὑπηρετῶν κατέκειτο, τὴν δὲ στρατιὰν ἔχων ὁ Λάμαχος προσεμάχετο τοῖς Συρακουσίοις, ἐκ τῆς πόλεως τεῖχος ἀνάγουσι πρὸς τὸ τῶν Ἀθηναίων, ὃ κωλύσειν ἔμελλε διὰ μέσου τὸν ἀποτειχισμόν. Τῷ δὲ κρατεῖν, τῶν Ἀθηναίων ἀτακτότερον φερομένων πρὸς τὰς διώξεις, ἀπομονωθεὶς ὁ Λάμαχος, ὑπέστη τῶν Συρακουσίων τοὺς ἱππεῖς ἐπιφερομένους. Ἦν δὲ πρῶτος αὐτῶν Καλλικράτης, ἀνὴρ πολεμικὸς καὶ θυμοειδής. Πρὸς τοῦτον ἐκ προκλήσεως καταστὰς ὁ Λάμαχος, ἐμονομάχησε, καὶ λαβὼν πληγὴν πρότερος, εἶτα δοὺς καὶ πεσὼν, ὁμοῦ συναπέθανε τῷ Καλλικράτει. Καὶ τὸ μὲν σῶμα κρατήσαντες αὐτοῦ μετὰ τῶν ὅπλων ἐξῆραν οἱ Συρακούσιοι, δρόμῳ δ' ἐφέροντο πρὸς τὰ τείχη τῶν Ἀθηναίων, ἐν οἷς ὁ Νικίας ἦν οὐκ ἔχων τοὺς βοηθοῦντας. Ὅμως δ' ὑπὸ τῆς ἀνάγκης ἐξαναστὰς καὶ κατιδὼν τὸν κίνδυνον, ἐκέλευσε τοὺς καθ' ἑαυτὸν, ὅσα ξύλα πρὸ τῶν τειχῶν ἐτύγχανεν εἰς μηχανὰς παραβεβλημένα, καὶ τὰς μηχανὰς αὐτὰς, πῦρ κομίσαντας, ἅψαι. Τοῦτο τοὺς Συρακουσίους ἐπέσχε, καὶ τὸν Νικίαν ἔσωσε, καὶ τὰ τείχη καὶ τὰ χρήματα τῶν Ἀθηναίων. Φλόγα γὰρ ἀρθεῖσαν διὰ μέσου πολλὴν ἰδόντες ἀπετράπησαν οἱ

НБ ОНУ імені І.І. Мечникова

Συρακούσιοι. Τούτων δὲ πραχθέντων, ἀπολέλειπτο μὲν ὁ Νικίας μόνος τῶν στρατηγῶν, ἦν δ' ἐλπίδος μεγάλης. Καὶ γὰρ πόλεις μεθίσταντο, καὶ πλοῖα μεστὰ σίτου πολλαχόθεν εἰς τὸ στρατόπεδον, τοῖς πράγμασιν εὖ φερομένοις πάντων προστιθεμένων. Καὶ λόγοι τινὲς ἤδη παρὰ τῶν Συρακουσίων ἐγίνοντο περὶ συμβάσεως πρὸς αὐτὸν, ἀπεγνωκότων τὴν πόλιν. Ὅπου καὶ Γύλιππος ἐκ Λακεδαίμονος πλέων βοηθὸς αὐτοῖς, ὡς ἤκουσε κατὰ πλοῦν τὸν ἀποτειχισμὸν καὶ τὰς ἀπορίας, οὕτως ἔπλει τὸ λοιπὸν, ὡς ἐχομένης μὲν ἤδη τῆς Σικελίας, Ἰταλιώταις δὲ τὰς πόλεις διαφυλάξων, εἰ καὶ τοῦτό πως ἐγγένοιτο. Μεγάλη γὰρ ἡ δόξα διεφοίτα τοῦ κρατεῖν πάντα τοὺς Ἀθηναίους, καὶ στρατηγὸν ἔχειν ἄμαχον δι' εὐτυχίαν καὶ φρόνησιν. Ὁ δὲ Νικίας αὐτὸς εὐθὺς καὶ παρὰ φύσιν ὑπὸ τῆς ἐν τῷ παρόντι ῥώμης καὶ τύχης ἀνατεθαῤῥηκὼς, μάλιστα δὲ, τοῖς ἐκ Συρακουσῶν διαλεγομένοις κρύφα, καὶ πέμπουσι πρὸς αὐτὸν, ὅσον οὔπω τὴν πόλιν ἐνδίδοσθαι κατὰ συμβάσεις νομίζων, οὐδένα τοῦ Γυλίππου λόγον ἔσχε προσπλέοντος, οὐδὲ φυλακὴν ἐποιήσατο καταίροντος· ἀλλὰ τῷ παντελῶς ὑπερορᾶσθαι καὶ καταφρονεῖσθαι, λαθὼν αὐτὸν ὁ ἀνὴρ, εἰσέπλευσε διὰ πορθμείου, καὶ προσκομισθεὶς ἀπωτάτω τῶν Συρακουσῶν, στρατιὰν συνηγάγετο πολλὴν, οὐδ' εἰ πάρεστι, τῶν Συρακουσίων ἐπισταμένων, οὐδὲ προσδοκώντων. Διὸ καὶ παρήγγελτο μὲν αὐτοῖς ἐκκλησία περὶ τῶν πρὸς τὸν Νικίαν ὁμολογιῶν· καί τινες ἐβάδιζον ἤδη, πρὶν ἢ παντελῶς ἀπο-

τειχισθῆναι τὴν πόλιν, οἰόμενοι δεῖν γενέσθαι τὰς διαλύσεις. Βραχὺ γὰρ ἦν κομιδῇ τὸ ἀπολειπόμενον τοῦ ἔργου· καὶ τοῦτο παραβεβλημένην εἶχε τὴν παρασκευὴν τῆς τειχοδομίας σύμπασαν.

XIX. Ἐν τούτῳ δὲ καιροῦ παρόντος τοῦ κινδύνου, ἀφικνεῖται Γογγύλος ἐκ Κορίνθου μιᾷ τριήρει· καὶ συνδραμόντων πρὸς αὐτὸν, ὡς εἰκὸς, πάντων, ἔφραζεν, ὅτι Γύλιππος ἀφίξεται διὰ ταχέων, καὶ νῆες ἄλλαι βοηθοὶ προσπλέουσιν. Οὔπω δὲ τῷ Γογγύλῳ πιστευόντων βεβαίως, ἧκεν ἄγγελος παρὰ τοῦ Γυλίππου κελεύοντος ἀπαντᾶν. Οἱ δὲ θαῤῥήσαντες ἐξωπλίζοντο· καὶ προσῆγεν εὐθὺς ὁ Γύλιππος ἐξ ὁδοῦ παρατεταγμένος ἐπὶ τοὺς Ἀθηναίους. Ὡς δὲ κἀκείνους ἀντέταξεν ὁ Νικίας, θέμενος ἐπὶ τοὺς Ἀθηναίους ὁ Γύλιππος τὰ ὅπλα, καὶ κήρυκα πέμψας, ἔλεγε διδόναι τοῖς Ἀθηναίοις ἄδειαν ἀπιοῦσιν ἐκ Σικελίας. Ὁ μὲν οὖν Νικίας οὐδὲν ἠξίωσεν ἀποκρίνασθαι· τῶν δὲ στρατιωτῶν τινες καταγελῶντες, ἠρώτων, εἰ διὰ παρουσίαν ἑνὸς τρίβωνος καὶ βακτηρίας Λακωνικῆς οὕτως ἰσχυρὰ τὰ Συρακουσίων ἐξαίφνης γέγονεν, ὥστ' Ἀθηναίων καταφρονεῖν, οἳ πολὺ ῥωμαλεωτέρους Γυλίππου, καὶ μᾶλλον κομῶντας, τριακοσίους ἔχοντες ἐν πέδαις δεδεμένους ἀπέδωκαν Λακεδαιμονίοις. Τίμαιος δὲ καὶ τοὺς Σικελιώτας φησὶν ἐν μηδενὶ λόγῳ ποιεῖσθαι τὸν Γύλιππον, ὕστερον μὲν αἰσχροκέρδειαν αὐτοῦ καὶ μικρολογίαν καταγνόντας· ὡς δὲ πρῶτον ὤφθη, σκώπτοντας εἰς τὸν τρίβωνα καὶ τὴν κόμην. Εἶτα μέντοι φησὶν αὐ-

НБ ОНУ імені І. І. Мечникова

τὸς, ὅτι τῷ Γυλίππῳ φανέντι, καθάπερ γλαυκὶ, πολλοὶ προσέπτησαν ἑτοίμως στρατευόμενοι. Καὶ ταῦτα τῶν πρώτων ἀληθέστερά εἰσιν· ἐν γὰρ τῇ βακτηρίᾳ καὶ τῷ τρίβωνι τὸ σύμβολον καὶ τὸ ἀξίωμα τῆς Σπάρτης καθορῶντες συνίσταντο. Κἀκείνου τὸ πᾶν ἔργον γεγονέναι φησὶν οὐ Θουκυδίδης μόνον, ἀλλὰ καὶ Φίλιστος, ἀνὴρ Συρακούσιος, καὶ τῶν πραγμάτων ὁρατὴς γενόμενος. Τῇ μὲν οὖν πρώτῃ μάχῃ κρατήσαντες οἱ Ἀθηναῖοι τῶν Συρακουσίων ὀλίγους τινὰς ἀπέκτειναν, καὶ Γογγύλον τὸν Κορίνθιον. Εἰς δὲ τὴν ἐπιοῦσαν ἡμέραν ἔδειξεν ὁ Γύλιππος, οἷόν ἐστιν ἐμπειρία. Τοῖς γὰρ αὐτοῖς ὅπλοις καὶ ἵπποις καὶ χωρίοις χρησάμενος, οὐχ ὡσαύτως, ἀλλὰ μεταθεὶς τὴν τάξιν, ἐνίκησε τοὺς Ἀθηναίους· καὶ φυγόντων εἰς τὸ στρατόπεδον, ἐπιστήσας τοὺς Συρακουσίους, τοῖς λίθοις, οἷς ἐκεῖνοι προσεκόμισαν, καὶ τῇ ὕλῃ, παροικοδομῶν εἰς διαστολὰς, ἀπέκοψε τὸν ἐκείνων περιτειχισμὸν, ὥστ᾽ αὐτοῖς μηδὲν εἶναι πλέον κρατοῦσιν. Ἐκ τούτου δὲ θαῤῥήσαντες οἱ Συρακούσιοι, τάς τε ναῦς ἐπλήρουν, καὶ τοῖς ἱππεῦσι τοῖς ἑαυτῶν καὶ ἀκολούθοις περιελαύνοντες πολλοὺς ᾕρουν. Καὶ ὁ Γύλιππος ἐπιὼν ἐπὶ τὰς πόλεις αὐτὸς ἐξώρμα καὶ συνίστη πάντας ἐῤῥωμένως ὑπακούοντας αὐτῷ, καὶ συλλαμβανομένους· ὥστε τὸν Νικίαν, αὖθις εἰς ἐκείνους ἀποτρεπόμενον τοὺς πρώτους λογισμοὺς, καὶ συμφρονοῦντα τὴν τῶν πραγμάτων μεταβολὴν, ἀθυμεῖν, καὶ γράφειν τοῖς Ἀθηναίοις, κελεύοντα πέμπειν ἕτερον στρατὸν, ἢ καὶ

НБ ОНУ імені І.І. Мечникова

τοῦτον ἀπαγαγεῖν ἐκ Σικελίας· αὐτῷ δὲ πάντως αἰτούμενον τῆς στρατηγίας ἄφεσιν, διὰ τὴν νόσον.

XX. Οἱ δ' Ἀθηναῖοι καὶ πρότερον μὲν ὥρμηντο πέμπειν ἑτέραν δύναμιν εἰς Σικελίαν, φθόνῳ δὲ τῶν πρώτων πραττομένων πρὸς εὐτυχίαν τοῦ Νικίου τοσαύτην πολλὰς διατριβὰς ἐμβαλόντων, τότε γοῦν ἔσπευδον βοηθεῖν. Καὶ Δημοσθένης μὲν ἔμελλε μεγάλῳ στόλῳ πλεῖν ἐκ χειμῶνος· Εὐρυμέδων δὲ διὰ χειμῶνος προεξέπλευσε, χρήματα κομίζων καὶ συστρατήγους ἀποφαίνων ᾑρημένους τῷ Νικίᾳ τῶν αὐτόθι στρατευομένων, Εὐθύδημον καὶ Μένανδρον. Ἐν τούτῳ δὲ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἐξαίφνης ἐπιχειρούμενος ὁ Νικίας, ταῖς μὲν ναυσὶν ἡττώμενος τὸ πρῶτον, ὅμως ἐξέωσε καὶ κατέδυσε πολλὰς τῶν πολεμίων· πρὸς δὲ τὸ πεζὸν οὐκ ἔφθασε βοηθῶν. Ἀλλ' ἄφνω προσπεσὼν ὁ Γύλιππος εἷλε τὸ Πλημμύριον, ἐν ᾧ σκευῶν τριηρικῶν καὶ χρημάτων πολλῶν ἀποκειμένων, ἐκράτησε πάντων, καὶ διέφθειρεν ἄνδρας οὐκ ὀλίγους, καὶ ζῶντας ἔλαβε· τὸ δὲ μέγιστον, ἀφείλετο τοῦ Νικίου τῆς ἀγορᾶς τὴν εὐπέτειαν. Ἦν γὰρ ἡ κομιδὴ παρὰ τὸ Πλημμύριον ἀσφαλὴς καὶ ταχεῖα, τῶν Ἀθηναίων κρατούντων· ἐκπεσόντων δὲ, χαλεπὴ, καὶ μετὰ μάχης ἐγίνετο πρὸς τοὺς πολεμίους ἐκεῖ ναυλοχοῦντας. Ἔτι δὲ καὶ τὸ ναυτικὸν τοῖς Συρακουσίοις οὐκ ἀπὸ κράτους ἐφαίνετο νενικημένον, ἀλλ' ἀταξίᾳ περὶ τὴν δίωξιν. Αὖθις οὖν ἐπεχείρουν παρασκευαζόμενοι λαμπρότερον. Ὁ δὲ Νικίας οὐκ ἐβούλετο ναυμαχεῖν, ἀλλὰ πολλὴν

НБ ОНУ імені І.І. Мечникова

ἀβελτερίαν ἔλεγεν εἶναι, στόλου τοσούτου προσπλέοντος αὐτοῖς καὶ δυνάμεως ἀκραιφνοῦς, ἣν ἦγε Δημοσθένης σπεύδων, ἀπ' ἐλαττόνων καὶ χορηγουμένων φαύλως διαγωνίσασθαι. Τοῖς δὲ περὶ τὸν Μένανδρον καὶ τὸν Εὐθύδημον, ἀρτίως εἰς τὴν ἀρχὴν καθισταμένοις, φιλοτιμία καὶ ζῆλος ἦν πρὸς ἀμφοτέρους τοὺς στρατηγούς, τὸν μὲν Δημοσθένην φθῆναι πράξαντάς τι λαμπρόν, ὑπερβαλέσθαι δὲ τὸν Νικίαν. Πρόσχημα δ' ἦν ἡ δόξα τῆς πόλεως, ἣν ἀπόλλυσθαι καὶ καταλύεσθαι παντάπασι φάσκοντες, εἰ φοβηθήσονται Συρακουσίους ἐπιπλέοντας, ἐξεβιάσαντο ναυμαχῆσαι. Καὶ καταστρατηγηθέντες ὑπ' Ἀρίστωνος, τοῦ Κορινθίων κυβερνήτου, τοῖς περὶ τὸ ἀριστερόν, ὡς εἴρηκε Θουκυδίδης, κατὰ κράτος ἡττήθησαν, καὶ πολλοὺς ἀπέβαλον· καὶ ἀθυμία πολλὴ περιειστήκει τὸν Νικίαν, τῇ τε μοναρχίᾳ κακοπαθοῦντα, καὶ σφαλλόμενον αὖθις ὑπὸ τῶν συναρχόντων.

XXI. Ἐν τούτῳ δὲ Δημοσθένης ὑπὲρ τῶν λιμένων ἐπεφαίνετο λαμπρότατος τῇ παρασκευῇ, καὶ δεινότατος τοῖς πολεμίοις, ἐπὶ νεῶν ἑβδομήκοντα καὶ τριῶν ἄγων ὁπλίτας πεντακισχιλίους, ἀκοντιστὰς δὲ καὶ τοξότας καὶ σφενδονήτας τρισχιλίων οὐκ ἐλάττους, ὅπλων δὲ κόσμῳ καὶ παρασήμοις τριηρῶν, καὶ πλήθει κελευστῶν καὶ αὐλητῶν, θεατρικῶς καὶ πρὸς ἔκπληξιν πολεμίων ἐξησκημένος. Ἦν οὖν, ὡς εἰκός, αὖθις ἐν φόβῳ μεγάλῳ τὰ Συρακουσίων, εἰς οὐδὲν πέρας, οὐδ' ἀπαλλαγήν, ἀλλὰ πονοῦντας ἄλλως καὶ

НБ ОНУ імені І.І. Мечникова

φθειρομένους αὐτοὺς μάτην ὁρώντων. Τὸν δὲ Νικίαν οὐ πολὺν χρόνον εὔφρανεν ἡ παρουσία τῆς δυνάμεως· ἀλλ' ἅμα τῷ πρῶτον ἐν λόγοις γενέσθαι, τοῦ Δημοσθένους εὐθὺς ἐπιχειρεῖν τοῖς πολεμίοις κελεύοντος, καὶ τῷ ταχίστῳ τῶν κινδύνων περὶ τοῦ παντὸς διαγωνισαμένους ἑλεῖν Συρακούσας, καὶ ἀποπλεῖν οἴκαδε, δείσας καὶ θαυμάσας τὴν ὀξύτητα καὶ τόλμαν, ἐδεῖτο μηδὲν ἀπεγνωσμένως πράττειν, μηδ' ἀνοήτως. Τὴν γὰρ τριβὴν εἶναι κατὰ τῶν πολεμίων, οὔτε χρήματα κεκτημένων ἔτι, μήτε τῶν συμμάχων αὐτοῖς πολὺν χρόνον παραμενόντων· εἰ δὲ θλίβοιντο ταῖς ἀπορίαις, ταχὺ πάλιν ἐπ' αὐτὸν ἐπὶ συμβάσεις τραπησομένων, ὡς πρότερον. Καὶ γὰρ ἦσαν ἄνδρες οὐκ ὀλίγοι τῶν ἐν Συρακούσαις διαλεγόμενοι τῷ Νικίᾳ κρύφα, καὶ μένειν κελεύοντες, ὡς καὶ νῦν ὑπερπονούντων τῷ πολέμῳ, καὶ τὸν Γύλιππον βαρυνομένων· ἐὰν δὲ μικρὸν ἐπιτείνωσιν αἱ ἀνάγκαι, παντάπασιν ἀπαγορευσόντων. Τούτων ὁ Νικίας τὰ μὲν αἰνιττόμενος, τὰ δ' οὐ θέλων ἐν φανερῷ λέγειν, ἀτολμίας παρέσχε τοῖς στρατηγοῖς δόξαν· καὶ ταῦτ' ἐκεῖνα πάλιν ἥκειν φάσκοντες αὐτοῦ, μελλήματα, καὶ διατριβάς, καὶ ἀκριβολογίας, αἷς ἀπώλεσε τὴν ἀκμήν, οὐκ εὐθὺς ἐπιχειρῶν τοῖς πολεμίοις, ἀλλ' ἕωλος καὶ καταφρονούμενος, τῷ Δημοσθένει προσετίθεντο. Καὶ ὁ Νικίας μόλις συνεχώρησεν ἐκβιασθείς. Οὕτω δὴ τὴν πεζὴν στρατιὰν ἀναλαβὼν ὁ Δημοσθένης νυκτός, ἐπιχειρεῖ ταῖς Ἐπιπολαῖς· καὶ τοὺς μὲν φθάσας, πρὶν αἰσθέσθαι, τῶν πολεμίων

НБ ОНУ імені І.І. Мечникова

ἀπέκτεινε, τοὺς δ᾽ ἀμυνομένους ἐτρέψατο. Καὶ κρατῶν οὐκ ἔμενεν, ἀλλ᾽ ἐχώρει προσωτέρω, μέχρις οὗ τοῖς Βοιωτοῖς ἐνέτυχε. Πρῶτοι γὰρ οὗτοι συστρέψαντες ἑαυτοὺς, καὶ συνδραμόντες, εἰς τοὺς Ἀθηναίους ἐναντίοις τοῖς δόρασι μετὰ βοῆς ἐώσαντο, καὶ πολλοὺς αὐτοῦ κατέβαλον. Δι᾽ ὅλου δὲ τοῦ στρατεύματος εὐθὺς ἦν πτοία καὶ ταραχὴ, καὶ τοῦ φεύγοντος ἤδη καταπιμπλάμενον τὸ ἔτι νικῶν, καὶ τὸ ἐπιβαῖνον καὶ προσφερόμενον ὑπὸ τῶν πεφοβημένων ἀνακοπτόμενον, ἑαυτῷ περιέπιπτε, τοὺς μὲν φεύγοντας οἰόμενον διώκειν, τοῖς δὲ φίλοις ὡς πολεμίοις χρώμενον. Ἡ γὰρ ἄτακτος ἀνάμιξις ἐν ταὐτῷ μετὰ φόβου καὶ ἀγνοίας, καὶ τὸ τῆς ὄψεως ἄπιστον, ἐν νυκτὶ μήτε σκότος ἄκρατον, μήτε φῶς ἐχούσῃ βέβαιον, ἀλλ᾽ οἷον εἰκὸς καταφερομένης σελήνης, καὶ περισκιαζομένης ὅπλοις πολλοῖς καὶ σώμασι κινουμένοις διὰ τοῦ φωτὸς, μὴ διασαφοῦσαν τὰ εἴδη, φόβῳ τοῦ πολεμίου καὶ τὸ οἰκεῖον ποιεῖν ὕποπτον, εἰς δεινὰς ἀπορίας καὶ περιπετείας καθίστη τοὺς Ἀθηναίους. Ἔτυχον δέ πως καὶ τὴν σελήνην ἔχοντες ὄπισθεν· ὅθεν αὐτοὶ μὲν αὑτοῖς τὰς σκιὰς ἐπιβάλλοντες, ἀπέκρυπτον τὸ πλῆθος τῶν ὅπλων καὶ τὴν λαμπρότητα, τοὺς δ᾽ ἐναντίους ὁ πρὸς τὴν σελήνην τῶν ἀσπίδων ἀντιφωτισμὸς πολὺ πλείονας ὁρᾶσθαι καὶ λαμπροτέρους ἐποίει. Τέλος δὲ, πανταχόθεν αὐτοῖς, ὡς ἐνέδοσαν, προσκειμένων τῶν πολεμίων, φεύγοντες οἱ μὲν ὑπ᾽ ἐκείνων, οἱ δ᾽ ὑπ᾽ ἀλλήλων ἀπέθνησκον, οἱ δὲ κατὰ τῶν κρημνῶν ὀλισθαίνοντες·

НБ ОНУ імені І.І. Мечникова

Τοὺς δ' ἀποσκεδασθέντας καὶ πλανωμένους, ἡμέρας ἐπιγενομένης, οἱ ἱππεῖς καταλαμβάνοντες διέφθειρον. Ἐγένοντο δὲ νεκροὶ δισχίλιοι, καὶ τῶν περιγενομένων ὀλίγοι μετὰ τῶν ὅπλων ἀπεσώθησαν.

XXII. Ὁ μὲν οὖν Νικίας πληγεὶς οὐκ ἀπροσδοκήτως, ᾐτιᾶτο τοῦ Δημοσθένους τὴν προπέτειαν. Ἐκεῖνος δὲ περὶ τούτων ἀπολογησάμενος, ἐκέλευσεν ἀποπλεῖν τὴν ταχίστην· οὔτε γὰρ ἄλλην ἀφίξεσθαι δύναμιν αὐτοῖς, οὔτ' ἀπὸ τῆς παρούσης τῶν πολεμίων κρατήσειν· ὅπου γε καὶ κρατοῦντας ἐκείνων ἔδει μεταστῆναι καὶ φυγεῖν τὸ χωρίον, ἀεὶ μὲν, ὡς πυνθάνονται, βαρὺ καὶ νοσῶδες ὂν στρατοπέδῳ, νῦν δ', ὡς βλέπουσι, καὶ διὰ τὴν ὥραν ὀλέθριον. Μετοπώρου γὰρ ἦν ἡ ἀρχή· καὶ πολλοὶ μὲν ἠσθένουν ἤδη, πάντες δ' ἠθύμουν. Ὁ δὲ Νικίας χαλεπῶς ἤκουσε τὴν φυγὴν καὶ τὸν ἀπόπλουν, οὐ τῷ μὴ δεδιέναι τοὺς Συρακουσίους, ἀλλὰ τῷ μᾶλλον τοὺς Ἀθηναίους καὶ τὰς ἐκείνων δίκας καὶ συκοφαντίας φοβεῖσθαι. Δεινὸν μὲν οὖν οὐδὲν αὐτόθι προσδοκᾶν ἔφασκεν· εἰ δὲ συμβαίη, μᾶλλον αἱρεῖσθαι τὸν ὑπὸ τῶν πολεμίων θάνατον, ἢ τὸν ὑπὸ τῶν πολιτῶν. (οὐχ ὅμοια φρονῶν οἷς ὕστερον ὁ Βυζάντιος Λέων εἶπε πρὸς τοὺς ἑαυτοῦ πολίτας· Βούλομαι γὰρ, ἔφη, μᾶλλον ὑφ' ὑμῶν, ἢ μεθ' ὑμῶν, ἀποθανεῖν·) περὶ μέντοι τόπου καὶ χώρας, εἰς ἣν μεταταξουσι τὸ στρατόπεδον, βουλεύσεσθαι καθ' ἡσυχίαν. Ταῦτα δ' αὐτοῦ λέγοντος, ὁ μὲν Δημοσθένης, οὐδὲ τῇ προτέρᾳ γνώμῃ κατευτυχήσας, ἐπαύσατο βιαζόμενος·

τοῖς δ' ἄλλοις παρέσχε τὸν Νικίαν, προσδοκῶντα καὶ πιστεύοντα τοῖς ἔνδον, οὕτως ἐῤῥωμένως ἀναμάχεσθαι περὶ τῆς ἀποβάσεως· διὸ καὶ συνεχώρησαν. Ὡς μέντοι στρατιὰ Συρακουσίοις ἐπῆλθεν ἄλλη, καὶ μᾶλλον ἥπτετο τῶν Ἀθηναίων ἡ νόσος, τότ' ἤδη καὶ τῷ Νικίᾳ συνεδόκει μεθίστασθαι, καὶ παρήγγειλε τοῖς στρατιώταις εὐτρεπεῖς εἶναι πρὸς ἀπόπλουν.

XXIII. Ὡς δ' ἦν ἕτοιμα ταῦτα πάντα, καὶ τῶν πολεμίων οὐδεὶς παρεφύλαττεν, ἅτε δὴ μὴ προσδοκώντων, ἐξέλιπεν ἡ σελήνη τῆς νυκτὸς, μέγα δέος τῷ Νικίᾳ καὶ τῶν ἄλλων τοῖς ὑπ' ἀπειρίας, ἢ δεισιδαιμονίας, ἐκπεπληγμένοις τὰ τοιαῦτα. Τοῦ μὲν γὰρ ἡλίου τὴν περὶ τὰς τριακάδας ἐπισκότησιν ἀμωσγέπως ἤδη συνεφρόνουν καὶ οἱ πολλοὶ γινομένην ὑπὸ τῆς σελήνης· αὐτὴν δὲ τὴν σελήνην, ᾧτινι συντυγχάνουσαν, καὶ πῶς αἰφνίδιον ἐκ πανσελήνου τὸ φῶς ἀπόλλυσι, καὶ χρόας ἵησι παντοδαπὰς, οὐ ῥᾴδιον ἦν καταλαβεῖν, ἀλλ' ἀλλόκοτον ἡγοῦντο, καὶ πρὸ συμφορῶν τινων μεγάλων ἐκ θεοῦ γινόμενον σημεῖον. Ὁ γὰρ πρῶτος σαφέστατόν τε πάντων καὶ θαῤῥαλεώτατον περὶ σελήνης καταυγασμῶν καὶ σκιᾶς λόγον εἰς γραφὴν καταθέμενος Ἀναξαγόρας, οὔτ' αὐτὸς ἦν παλαιὸς, οὔτε ὁ λόγος ἔνδοξος, ἀλλ' ἀπόῤῥητος ἔτι, καὶ δι' ὀλίγων καὶ μετ' εὐλαβείας τινὸς, ἢ πίστεως βαδίζων. Οὐ γὰρ ἠνείχοντο τοὺς φυσικοὺς καὶ μετεωρολέσχας τότε καλουμένους, ὡς εἰς αἰτίας ἀλόγους καὶ δυνάμεις ἀπρονοήτους καὶ κατηναγκασμένα πάθη διατρίβοντας τὸ θεῖον. Ἀλλὰ καὶ Πρωταγόρας ἔφυγε

καὶ Ἀναξαγόραν εἰρχθέντα μόλις περιεποιήσατο Περικλῆς· καὶ Σωκράτης, οὐδὲν αὐτῷ τῶν γε τοιούτων προσῆκον, ὅμως ἀπώλετο διὰ φιλοσοφίαν. Ὀψὲ δ' ἡ Πλάτωνος ἐκλάμψασα δόξα, διὰ τὸν βίον τοῦ ἀνδρὸς, καὶ ὅτι ταῖς θείαις καὶ κυριωτέραις ἀρχαῖς ὑπέταξε τὰς φυσικὰς ἀνάγκας, ἀφεῖλε τὴν τῶν λόγων τούτων διαβολὴν, καὶ τοῖς μαθήμασιν εἰς ἅπαντας ὁδὸν ἐνέδωκεν. Ὁ γοῦν ἑταῖρος αὐτοῦ, Δίων, καθ' ὃν χρόνον ἔμελλεν ἄρας ἐκ Ζακύνθου πλεῖν ἐπὶ Διονύσιον, ἐκλιπούσης τῆς σελήνης, οὐδὲν διαταραχθεὶς ἀνήχθη, καὶ κατασχὼν ἐν Συρακούσαις, ἐξέβαλε τὸν τύραννον. Τῷ μέντοι Νικίᾳ συνηνέχθη τότε μηδὲ μάντιν ἔχειν ἔμπειρον· ὁ γὰρ συνήθης αὐτοῦ, καὶ τὸ πολὺ τῆς δεισιδαιμονίας ἀφαιρῶν Στιλβίδης, ἐτεθνήκει μικρὸν ἔμπροσθεν. Ἐπεὶ τὸ σημεῖον, ὥς φησι Φιλόχορος, φεύγουσιν οὐκ ἦν πονηρὸν, ἀλλὰ καὶ πάνυ χρηστόν. ἐπικρύψεως γὰρ αἱ σὺν φόβῳ πράξεις δέονται, τὸ δὲ φῶς πολέμιόν ἐστιν αὐταῖς. Ἄλλως τε καὶ τῶν περὶ ἥλιον καὶ σελήνην ἐπὶ τρεῖς ἡμέρας ἐποιοῦντο φυλακὴν, ὡς Ἀντικλείδης διέγραψεν ἐν τοῖς ἐξηγητικοῖς. Ὁ δὲ Νικίας ἄλλην ἔπεισε σελήνης ἀναμένειν περίοδον, ὥσπερ οὐκ εὐθὺς θεασάμενος αὐτὴν ἀποκαθαρθεῖσαν, ὅτε τὸν σκιερὸν τόπον καὶ ὑπὸ τῆς γῆς ἀντιφραττόμενον παρῆλθε.

XXIV. Μικροῦ δὲ πάντων ἀφέμενος τῶν ἄλλων, ἔθυε καὶ διεμαντεύετο καθήμενος, ἕως ἐπῆλθον αὐτοῖς οἱ πολέμιοι, τῷ μὲν πεζῷ τὰ τείχη καὶ τὸ στρατόπεδον

НБ ОНУ імені І.І. Мечникова

αὐτῶν πολιορκοῦντες, ταῖς δὲ ναυσὶ κύκλῳ τὸν λιμένα περιλαμβάνοντες, οὐκ αὐτοὶ μόνον ταῖς τριήρεσιν, ἀλλὰ καὶ τὰ παιδάρια πανταχόθεν ἐπιβαίνοντα τῶν ἁλιάδων, καὶ ταῖς σκάφαις προσπλέοντα, προὐκαλεῖτο τοὺς Ἀθηναίους καὶ προὐπηλάκιζεν. Ὧν ἕνα, παῖδα γνωρίμων γονέων, Ἡρακλείδην, προεξελάσαντα τῷ πλοίῳ, ναῦς Ἀττικὴ διώκουσα κατελάμβανε. Δείσας δὲ περὶ αὐτῷ Πόλλιχος ὁ θεῖος, ἀντελαύνει δέκα τριήρεσιν, ὧν ἦρχεν· οἱ δ᾽ ἄλλοι περὶ τοῦ Πολλίχου φοβηθέντες, ὡσαύτως ἀνήγοντο. Καὶ ναυμαχίας ἰσχυρᾶς γενομένης, ἐνίκησαν οἱ Συρακούσιοι, καὶ τὸν Εὐρυμέδοντα πολλῶν μετ᾽ ἄλλων διέφθειραν. Ἦν οὖν οὐκέτι μένειν ἀνασχετὰ Ἀθηναίοις, ἀλλὰ τῶν στρατηγῶν κατεβόων, πεζῇ κελεύοντες ἀναχωρεῖν. Καὶ γὰρ οἱ Συρακούσιοι νικήσαντες, εὐθὺς ἐνέφραξαν καὶ ἀπέκλεισαν τὸν διέκπλουν τοῦ λιμένος. Οἱ δὲ περὶ τὸν Νικίαν τοῦτο μὲν οὐκ ἐπείθοντο· δεινὸν γὰρ ἦν ἀπολιπεῖν ὁλκάδας τε πολλὰς καὶ τριήρεις ὀλίγον ἀριθμῷ διακοσίων ἀποδεούσας. Ἐμβιβάσαντες δὲ τῶν πεζῶν τοὺς ἀρίστους, καὶ τῶν ἀκοντιστῶν τοὺς ἀλκιμωτάτους, ἐπλήρωσαν ἑκατὸν καὶ δέκα τριήρεις· αἱ γὰρ ἄλλαι ταρσῶν ἐνδεεῖς ἦσαν. Τὸν δὲ λοιπὸν ὄχλον ἔστησε παρὰ τὴν θάλασσαν ὁ Νικίας, ἐκλιπὼν τὸ μέγα στρατόπεδον, καὶ τὰ τείχη τὰ συνάπτοντα πρὸς τὸ Ἡράκλειον· ὥστε, μὴ τεθυκότων τὴν εἰθισμένην θυσίαν τῷ Ἡρακλεῖ τῶν Συρακουσίων, θῦσαι τότε τοὺς ἱερεῖς καὶ στρατηγοὺς ἀναβάντας.

XXV. Ἤδη δὲ πληρουμένων τῶν τριηρῶν, ἐπειδὴ οἱ μάντεις τοῖς Συρακουσίοις ἀπήγγειλαν ἐκ τῶν ἱερῶν λαμπρότητα καὶ νίκην, μὴ καταρχομένοις μάχης, ἀλλ' ἀμυνομένοις, (καὶ γὰρ τὸν Ἡρακλέα πάντων κρατεῖν ἀμυνόμενον καὶ προεπιχειρούμενον) ἀνήχθησαν. Ἡ δὲ ναυμαχία, πολὺ μεγίστη καὶ καρτερωτάτη γενομένη, καὶ μηδὲν ἐλάττονα πάθη καὶ θορύβους παρασχοῦσα τοῖς θεωμένοις, ἢ τοῖς ἀγωνιζομένοις, διὰ τὴν παντὸς ἐπίβλεψιν τοῦ ἔργου ποικίλας μεταβολὰς καὶ ἀπροσδοκήτους ἐν ὀλίγῳ λαμβάνοντος, ἔβλαπτε ταῖς αὐτῶν παρασκευαῖς οὐχ ἧττον τῶν πολεμίων τοὺς Ἀθηναίους. Ἀθρόαις γὰρ ἐμάχοντο ταῖς ναυσὶ καὶ βαρείαις πρὸς κούφας, ἀλλαχόθεν ἄλλαις ἐπιφερομένας· καὶ βαλλόμενοι λίθοις ὁμοίαν ἔχουσι τὴν πληγὴν πανταχόθεν, ἀντέβαλλον ἀκοντίοις καὶ τοξεύμασιν, ὧν ὁ σάλος τὴν εὐθυβολίαν διέστρεφεν, ὥστε μὴ πάντα κατ' αἰχμὴν προσφέρεσθαι. Ταῦτα δ' Ἀρίστων ὁ Κορίνθιος κυβερνήτης ἐδίδαξε τοὺς Συρακουσίους, καὶ παρὰ τὴν μάχην αὐτὴν ἀγωνιζόμενος προθύμως, ἔπεσεν, ἤδη κρατούντων τῶν Συρακουσίων. Γενομένης δὲ μεγάλης τροπῆς καὶ φθορᾶς, ἡ μὲν κατὰ θάλασσαν φυγὴ τοῖς Ἀθηναίοις ἀποκέκοπτο· χαλεπὴν δὲ καὶ διὰ γῆς τὴν σωτηρίαν ὁρῶντες, οὔτε ναῦς ἀφέλκοντας ἐγγύθεν ἔτι τοὺς πολεμίους ἐκώλυον, οὔτε νεκρῶν ᾔτησαν ἀναίρεσιν, ἅτε δὴ τῆς ἐκείνων ἀταφίας, τὴν τῶν νοσούντων καὶ τετρωμένων ἀπόλειψιν, οἰκτροτέραν οὖσαν, ἤδη πρὸ ὀφθαλμῶν ἔχοντες, αὐτοὺς δὲ

НБ ОНУ імені І.І. Мечникова

κἀκείνων ἐπιπονωτέρους ἡγούμενοι, μετὰ πλειόνων κακῶν ἐπὶ ταὐτὸ πάντως ἀφιξομένους τέλος.

XXLI. Ὡρμημένων δ' αὐτῶν ἀπαίρειν διὰ νυκτὸς, οἱ μὲν περὶ τὸν Γύλιππον ὁρῶντες ἐν θυσίαις καὶ πότοις τοὺς Συρακουσίους διά τε τὴν νίκην καὶ τὴν ἑορτὴν ὄντας, οὔτε πείσειν, οὔτε βιάσεσθαι προσεδόκων ἀναστάντας ἤδη προσφέρεσθαι τοῖς πολεμίοις ἀπιοῦσιν. Ἑρμοκράτης δ', αὐτὸς ἀφ' ἑαυτοῦ συνθεὶς ἐπὶ τὸν Νικίαν ἀπάτην, ἔπεμψέ τινας τῶν ἑταίρων πρὸς αὐτὸν, ἀπ' ἐκείνων μὲν ἥκειν τῶν ἀνδρῶν φάσκοντας, οἳ καὶ πρότερον εἰώθεσαν κρύφα τῷ Νικίᾳ διαλέγεσθαι, παραινοῦντας δὲ μὴ πορεύεσθαι διὰ τῆς νυκτὸς, ὡς τῶν Συρακουσίων ἐνέδρας πεποιημένων αὐτοῖς, καὶ προκατεχόντων τὰς παρόδους. Τούτῳ δε καταστρατηγηθεὶς ὁ Νικίας, ὑπέμεινεν, ἃ ψευδῶς ἔδεισεν, ὑπὸ τῶν πολεμίων ἀληθῶς παθεῖν. Προελθόντες γὰρ ἅμ' ἡμέρᾳ τὰς δυσχωρίας τῶν ὁδῶν κατέλαβον, καὶ τὰς διαβάσεις τῶν ποταμῶν ἀπετείχισαν, τάς τε γεφύρας ἀπέκοψαν, ἐν δὲ τοῖς ὁμαλοῖς καὶ πεδινοῖς τοὺς ἱππεῖς ἔταξαν, ὥστε μηδένα λελεῖφθαι τοῖς Ἀθηναίοις τόπον ἀμαχεὶ προελθεῖν. Οἱ δε, καὶ τὴν ἡμέραν ἐκείνην καὶ τὴν νύκτα τὴν ἑτέραν ἐπιμείναντες, ἐπορεύοντο κλαυθμῷ καὶ ὀλοφυρμῷ, καθάπερ ἐκ πατρίδος, οὐ πολεμίας, ἀνιστάμενοι, διὰ τὰς ἀπορίας τῶν ἀναγκαίων, καὶ τὰς ἀπολείψεις τῶν ἀδυνάτων φίλων καὶ συνήθων· ὅμως τὰ παρόντα κακὰ κουφότερα τῶν προσδοκωμένων νομίζοντες εἶναι. Πολλῶν δὲ δεινῶν

ἐν τῷ στρατοπέδῳ φαινομένων, οὐδὲν ἦν οἰκτρότερον αὐτοῦ Νικίου θέαμα, κεκακωμένου μὲν ὑπὸ τῆς ἀσθενείας, συνεσταλμένου δὲ παρ' ἀξίαν εἰς ἀναγκαίαν δίαιταν καὶ τὰ σμικρότατα τῶν ἐφοδίων εἰς τὸ σῶμα, πολλῶν διὰ τὴν νόσον δεόμενον· πράττοντος δὲ μετ' ἀῤῥωστίας, καὶ καρτεροῦντος, ἃ πολλοὶ τῶν ἐῤῥωμένων μόλις ὑπέμενον· καταφανοῦς δὲ πᾶσιν ὄντος, οὐ δι' αὐτὸν, οὐδὲ τῷ φιλοψυχεῖν, τοῖς πόνοις ἐμμένοντος, ἀλλὰ δι' ἐκείνους τὴν ἐλπίδα μὴ προϊεμένου. Καὶ γὰρ εἰς δάκρυα καὶ ὀδυρμοὺς τῶν ἄλλων ὑπὸ φόβου καὶ λύπης τρεπομένων, ἐκεῖνος, εἴ ποτε βιασθείη τοῦτο ποιῆσαι, δῆλος ἦν τὸ αἰσχρὸν καὶ τὸ ἀκλεὲς τῆς στρατείας ἀναλογιζόμενος πρὸς τὸ μέγεθος καὶ τὴν δόξαν, ὧν ἤλπιζε κατορθώσειν. Οὐ μόνον δ' αὐτοῦ τὴν ὄψιν ὁρῶντες, ἀλλὰ καὶ τῶν λόγων μνημονεύοντες, καὶ τῶν παραινέσεων, ἃς ἐποιήσατο κωλύων τὸν ἔκπλουν, ἔτι μᾶλλον ἐνόμιζον ἀναξίως ταλαιπωρεῖν· καὶ πρὸς τὰς ἐκ θεῶν ἐλπίδας ἀθύμως εἶχον, ἐννοοῦντες, ὡς ἀνὴρ θεοφιλὴς, καὶ πολλὰ καὶ μεγάλα λαμπρυνάμενος πρὸς τὸ θεῖον, οὐδενὸς ἐπιεικεστέρᾳ τύχῃ χρῆται τῶν κακίστων ἐν τῷ στρατεύματι καὶ ταπεινοτάτων.

XXVII. Οὐ μὴν ἀλλ' ὅ γε Νικίας ἐπειρᾶτο καὶ φωνῇ καὶ προσώπῳ καὶ δεξιώσει κρείττων ὁρᾶσθαι τῶν δεινῶν. Καὶ παρὰ πᾶσάν γε τὴν πορείαν ἐφ' ἡμέρας ὀκτὼ βαλλόμενος καὶ τραυματιζόμενος ὑπὸ τῶν πολεμίων, ἀήττητον ἐφύλαττε τὴν σὺν αὐτῷ δύναμιν, ἄχρις οὗ Δημοσθένης ἑάλω, καὶ τὸ μετ' ἐκεί-

νου στράτευμα, περὶ τὴν Πολυζήλειον αὐλὴν ἐν τῷ διαμάχεσθαι καὶ ὑπολείπεσθαι κυκλωθέν. Αὐτὸς δὲ Δημοσθένης, σπασάμενος τὸ ξίφος, ἔπληξε μὲν ἑαυτὸν, οὐ μὴν ἀπέθανε, ταχὺ τῶν πολεμίων περισχόντων καὶ συλλαβόντων αὐτόν. Ὡς δὲ τῷ Νικίᾳ προσελάσαντες ἔφραζον οἱ Συρακούσιοι, καὶ πέμψας ἱππέας, ἔγνω τὴν ἐκείνου τοῦ στρατεύματος ἅλωσιν, ἠξίου σπείσασθαι πρὸς τὸν Γύλιππον, ὅπως ἀφῶσι τοὺς Ἀθηναίους ἐκ Σικελίας, ὅμηρα λαβόντες ὑπὲρ τῶν χρημάτων, ὅσα Συρακουσίοις ἀνάλωτο πρὸς τὸν πόλεμον. Οἱ δ' οὐ προσεῖχον, ἀλλὰ πρὸς ὕβριν καὶ μετ' ὀργῆς ἀπειλοῦντες καὶ λοιδοροῦντες ἔβαλλον, ἤδη πάντων ἐνδεῶς ἔχοντα τῶν ἀναγκαίων. Οὐ μὴν ἀλλὰ καὶ τὴν νύκτα διεκαρτέρησε, καὶ τὴν ἐπιοῦσαν ἡμέραν προῄει βαλλόμενος πρὸς τὸν Ἀσίναρον ποταμόν. Ἐκεῖ δὲ τοὺς μὲν οἱ πολέμιοι συνενεγκόντες ἐνέσεισαν εἰς τὸ ῥεῖθρον, οἱ δὲ φθάνοντες ὑπὸ δίψους ἔῤῥιπτον ἑαυτούς· καὶ πλεῖστος ἐνταῦθα μόρος ἦν καὶ ὠμότατος, ἐν τῷ ποταμῷ πινόντων ἅμα καὶ σφαττομένων, ἄχρι Νικίας Γυλίππῳ προσπεσὼν, εἶπεν· „Ἔλεος ὑμᾶς, ὦ Γύλιππε, λαβέτω νικῶντας, ἐμοῦ μὲν μηδεὶς, ὃς ἐπὶ τηλικαύταις ἀτυχίαις ὄνομα καὶ δόξαν ἔσχον, τῶν δ' ἄλλων Ἀθηναίων ἐννοηθέντας, ὅτι κοιναὶ μὲν αἱ τύχαι τοῦ πολέμου, μετρίως δ' αὐταῖς καὶ πρᾴως ἐχρήσαντο, ἐν οἷς ηὐτύχουν, Ἀθηναῖοι πρὸς ὑμᾶς.“ Τοιαῦτα τοῦ Νικίου λέγοντος, ἔπαθε μέν τι καὶ πρὸς τὴν ὄψιν αὐτοῦ καὶ πρὸς τοὺς λόγους ὁ Γύλιππος· ᾔδει γὰρ τοὺς

Λακεδαιμονίους εὖ πεπονθότας ὑπ' αὐτοῦ περὶ τὰς γενομένας διαλύσεις· μέγα δ' ἡγεῖτο πρὸς δόξαν, εἰ ζῶντας ἀπαγάγοι τοὺς ἀντιστρατήγους. Διὸ τόν τε Νικίαν ἀναλαβὼν ἐθάῤῥυνε, καὶ τοὺς ἄλλους ζωγρεῖν παρήγγελε. Βραδέως δὲ τοῦ παραγγέλματος διϊκνουμένου, πολλῷ τῶν φονευθέντων ἐλάττονες οἱ διασωθέντες ἐγένοντο· καίτοι πολλοὶ διεκλάπησαν ὑπὸ τῶν στρατιωτῶν. Τοὺς δὲ φανερῶς ἑαλωκότας ἀθροίσαντες, τὰ μὲν κάλλιστα καὶ μέγιστα δένδρα τῶν περὶ τὸν ποταμὸν ἀνέδησαν αἰχμαλώτοις πανοπλίαις, ἐστεφανωμένοι δ' αὐτοὶ καὶ κοσμήσαντες ἵππους διαπρεπῶς, κείραντες δὲ τοὺς τῶν πολεμίων, εἰσήλαυνον εἰς τὴν πόλιν, ἀγῶνα λαμπρότατον, ὧν Ἕλληνες πρὸς Ἕλληνας ἠγωνίσαντο, καὶ νίκην τελεωτάτην κράτει πλείστῳ καὶ ῥώμῃ μεγίστῃ προθυμίας καὶ ἀρετῆς κατωρθωκότες.

XXVIII. Ἐκκλησίας δὲ πανδήμου Συρακουσίων καὶ τῶν συμμάχων γενομένης, Εὐρυκλῆς ὁ δημαγωγὸς ἔγραψε, πρῶτον μὲν τὴν ἡμέραν, ἐν ᾗ τὸν Νικίαν ἔλαβον, ἱερὰν ἔχειν, θύοντας καὶ σχολάζοντας ἔργων, Ἀσιναρίαν τὴν ἑορτὴν ἀπὸ τοῦ ποταμοῦ καλοῦντας. Ἡμέρα δ' ἦν τετρὰς φθίνοντος τοῦ Καρνείου μηνός, ὃν Ἀθηναῖοι Μεταγειτνιῶνα προσαγορεύουσι. Τῶν δ' Ἀθηναίων τοὺς μὲν οἰκέτας ἀποδόσθαι, καὶ τοὺς ἄλλους συμμάχους, αὐτοὺς δὲ καὶ τοὺς ἀπὸ Σικελίας φρουρεῖν, ἐμβαλόντας εἰς τὰς λατομίας, πλὴν τῶν στρατηγῶν· ἐκείνους δ' ἀποκτεῖναι. Ταῦτα προσδεχομένων τῶν Συρακουσίων,

Ἑρμοκράτης μὲν εἰπὼν, ὅτι τοῦ νικᾶν κρεῖττόν ἐστι τὸ καλῶς χρῆσθαι τῇ νίκῃ, οὐ μετρίως ἐθορυβήθη. Γύλιππον δὲ, τοὺς στρατηγοὺς τῶν Ἀθηναίων ἐξαιτούμενον ζῶντας ἀγαγεῖν Λακεδαιμονίοις, ὑβρίζοντες ἤδη τοῖς εὐτυχήμασιν οἱ Συρακούσιοι, κακῶς ἔλεγον, ἄλλως τε καὶ παρὰ τὸν πόλεμον αὐτοῦ τὴν τραχύτητα καὶ τὸ Λακωνικὸν τῆς ἐπιστασίας οὐ ῥᾳδίως ἐνηνοχότες· ὡς δὲ Τίμαιός φησι, καὶ μικρολογίαν τινὰ καὶ πλεονεξίαν κατεγνωκότες, ἀῤῥώστημα πατρῷον· ἐφ' ᾧ καὶ Κλεανδρίδης, ὁ πατὴρ αὐτοῦ, δώρων ἁλοὺς ἔφυγε, καὶ οὗτος αὐτὸς ἀπὸ τῶν χιλίων ταλάντων, ἃ Λύσανδρος ἔπεμψεν εἰς τὴν Σπάρτην, ὑφελόμενος τριάκοντα, καὶ κρύψας ὑπὸ τὸν ὄροφον τῆς οἰκίας, εἶτα μηνυθεὶς, αἴσχιστα πάντων ἐξέπεσεν. Ἀλλὰ ταῦτα μὲν ἐν τῷ Λυσάνδρου βίῳ μᾶλλον διηκρίβωται. Δημοσθένην δὲ καὶ Νικίαν ἀποθανεῖν Τίμαιος οὔ φησιν ὑπὸ τῶν Συρακουσίων καταλευσθέντας, ὡς Φίλιστος ἔγραψε καὶ Θουκυδίδης, ἀλλ', Ἑρμοκράτους πέμψαντος, ἔτι τῆς ἐκκλησίας συνεστώσης, καὶ δι' ἑνὸς, τῶν φυλάκων παρέντων, αὐτοὺς δι' ἑαυτῶν ἀποθανεῖν· τὰ μέντοι σώματα πρὸς ταῖς πύλαις ἐκβληθέντα, κεῖσθαι φανερὰ τοῖς δεομένοις τοῦ θεάματος. Πυνθάνομαι δὲ, μέχρι νῦν ἐν Συρακούσαις ἀσπίδα κειμένην πρὸς ἱερῷ δείκνυσθαι, Νικίου μὲν λεγομένην, χρυσοῦ δὲ καὶ πορφύρας εὖ πως πρὸς ἄλληλα μεμιγμένων δι' ὑφῆς συγκεκροτημένην.

XXIX. Τῶν δ' Ἀθηναίων οἱ μὲν πλεῖστοι διε-

φθάρησαν ἐν ταῖς λατομίαις ὑπὸ νόσου καὶ διαίτης πονηρᾶς, εἰς ἡμέραν ἑκάστην κοτύλας δύο κριθῶν λαμβάνοντες, καὶ μίαν ὕδατος· οὐκ ὀλίγοι δ᾽ ἐπράθησαν διακλαπέντες, ἢ καὶ διαλαθόντες, ὡς οἰκέται. Καὶ τοὺς οἰκέτας ἐπώλουν, στίζοντες ἵππον εἰς τὸ μέτωπον. Οὐ πολλοὶ δ᾽ ἦσαν οἱ καὶ τοῦτο πρὸς τῷ δουλεύειν ὑπομένοντες. Ἐβοήθει δὲ καὶ τούτοις ἥ τ᾽ αἰδὼς καὶ τὸ κόσμιον· ἢ γὰρ ἠλευθεροῦντο ταχέως, ἢ τιμώμενοι παρέμενον τοῖς κεκτημένοις. Ἔνιοι δὲ καὶ δι᾽ Εὐριπίδην ἐσώθησαν. Μάλιστα γὰρ, ὡς ἔοικε, τῶν ἐντὸς Ἑλλήνων ἐπόθησαν αὐτοῦ τὴν μοῦσαν οἱ περὶ Σικελίαν· καὶ μικρὰ τῶν ἀφικνουμένων ἑκάστοτε δείγματα καὶ γεύματα κομιζόντων ἐκμανθάνοντες, ἀγαπητῶς μετεδίδοσαν ἀλλήλοις. Τότε γοῦν φασι τῶν σωθέντων οἴκαδε συχνοὺς ἀσπάσασθαι τὸν Εὐριπίδην φιλοφρόνως, καὶ διηγεῖσθαι τοὺς μὲν, ὅτι δουλεύοντες ἀφείθησαν, ἐκδιδάξαντες, ὅσα τῶν ἐκείνου ποιημάτων ἐμέμνηντο, τοὺς δ᾽, ὅτι πλανώμενοι μετὰ τὴν μάχην, τροφῆς καὶ ὕδατος μετέλαβον τῶν μελῶν ᾄσαντες. Οὐ δεῖ δὴ θαυμάζειν, ὅτι τοὺς Καυνίους φασὶ, πλοίου προσφερομένου τοῖς λιμέσιν, ὑπὸ λῃστρίδων διωκομένου, μὴ δέχεσθαι τὸ πρῶτον, ἀλλ᾽ ἀπείργειν· εἶτα μέντοι διαπυνθανομένους, εἰ γινώσκουσιν ᾄσματα τῶν Εὐριπίδου, φησάντων ἐκείνων, οὕτω παρεῖναι καταγαγεῖν τὸ πλοῖον.

XXX. Ἀθηναίοις δέ φασι τὴν συμφορὰν οὐχ ἥκιστα διὰ τὸν ἄγγελον ἄπιστον γενέσθαι. Ξένος

НБ ОНУ імені І.І. Мечникова

νάρ τις, ὡς ἔοικεν, ἀποβὰς εἰς Πειραιᾶ, καὶ καθίσας ἐπὶ κουρείῳ, ὡς ἐγνωκότων ἤδη τῶν Ἀθηναίων, λόγους ἐποιεῖτο περὶ τῶν γεγονότων. Ὁ δὲ κουρεὺς ἀκούσας, πρὶν ἄλλους πυνθάνεσθαι, δρόμῳ συντείνας εἰς τὸ ἄστυ, καὶ προσβαλὼν τοῖς ἄρχουσιν εὐθὺς κατ᾽ ἀγορὰν ἐνέβαλε τὸν λόγον. Ἐκπλήξεως δὲ καὶ ταραχῆς, ὡς εἰκὸς, γενομένης, οἱ μὲν ἄρχοντες ἐκκλησίαν συναγαγόντες, εἰσήγαγον τὸν ἄνθρωπον· ὡς δ᾽ ἐρωτώμενος, παρ᾽ οὗ πύθοιτο, σαφὲς οὐδὲν εἶχε φράζειν, δόξας λογοποιὸς εἶναι, καὶ ταράττειν τὴν πόλιν, εἰς τὸν τροχὸν καταδεθεὶς ἐστρεβλοῦτο πολὺν χρόνον, ἕως ἐπῆλθον οἱ τὸ πᾶν κακὸν ὡς εἶχεν, ἀπαγγέλλοντες. Οὕτω μόλις ὁ Νικίας ἐπιστεύθη παθὼν, ἃ πολλάκις αὐτοῖς προεῖπεν.

# ΜΑΡΚΟΣ ΚΡΑΣΣΟΣ.

Μάρκος δὲ Κράσσος ἦν τιμητικοῦ καὶ θριαμβικοῦ πατρός· ἐτράφη δ᾽ ἐν οἰκίᾳ μικρᾷ μετὰ δυοῖν ἀδελφῶν. Καὶ τοῖς ἀδελφοῖς αὐτοῦ γυναῖκες ἦσαν, ἔτι τῶν γονέων ζώντων· καὶ πάντες ἐπὶ τὴν αὐτὴν ἐφοίτων τράπεζαν. Ὅθεν οὐχ ἥκιστα δοκεῖ καὶ διὰ τοῦτο σώφρων καὶ μέτριος γενέσθαι περὶ τὴν δίαιταν. Ἀποθανόντος δὲ τοῦ ἑτέρου τῶν ἀδελφῶν, τῇ γυναικὶ συνῴκησε, καὶ τοὺς παῖδας ἐξ ἐκείνης ἔσχεν, οὐδενὸς ἧττον καὶ περὶ ταῦτα Ῥωμαίων εὔτακτος γενόμενος. Καίτοι προϊὼν καθ᾽ ἡλικίαν, αἰτίαν ἔσχε Λικιννίᾳ συνεῖναι, τῶν Ἑστιάδων μιᾷ παρθένων· καὶ δίκην ἔφυγεν ἡ Λικιννία, Πλωτίνου τινὸς διώκοντος. Ἦν δὲ προάστειον αὐτῇ καλὸν, ὃ βουλόμενος λαβεῖν ὀλίγης τιμῆς ὁ Κράσσος, καὶ διὰ τοῦτο προσκείμενος ἀεὶ τῇ γυναικὶ καὶ θεραπεύων, εἰς τὴν ὑποψίαν ἐκείνην ἐνέπεσε· καὶ τρόπον τινὰ τῇ φιλοπλουτίᾳ τὴν αἰτίαν τῆς φθορᾶς ἀπολυσάμενος, ὑπὸ τῶν δικαστῶν ἀφείθη. Τὴν δὲ Λικιννίαν οὐκ ἀνῆκε πρότερον, ἢ τοῦ κτήματος κρατῆσαι.

НБ ОНУ імені І. Мечникова

II. Ῥωμαῖοι μὲν οὖν λέγουσι πολλαῖς ἀρεταῖς τοῦ Κράσσου κακίαν μόνην ἐπισκοτῆσαι, τὴν φιλοπλουτίαν. Ἔοικε δὲ μία, πασῶν ἐῤῥωμενεστέρα τῶν ἐν αὐτῷ κακιῶν γενομένη, τὰς ἄλλας ἀμαυρῶσαι. Τεκμήρια δὲ τῆς φιλοπλουτίας αὐτοῦ μέγιστα ποιοῦνται, τόν τε τρόπον τοῦ πορισμοῦ, καὶ τῆς οὐσίας τὸ μέγεθος. Τριακοσίων γὰρ οὐ πλείω κεκτημένος ἐν ἀρχῇ ταλάντων, εἶτα παρὰ τὴν πολιτείαν ἀποθύσας μὲν τῷ Ἡρακλεῖ τὴν δεκάτην, καὶ τὸν δῆμον ἑστιάσας, τρεῖς δὲ μῆνας ἑκάστῳ Ῥωμαίων σιτηρέσιον ἐκ τῶν αὐτοῦ παρασχὼν, ὅμως πρὸ τῆς ἐπὶ Πάρθους στρατείας αὐτὸς αὑτῷ θέμενος ἐκλογισμὸν τῆς οὐσίας, εὗρεν ἑκατὸν ταλάντων τίμημα πρὸς ἑπτακισχιλίοις. Τὰ δὲ πλεῖστα τούτων, εἰ δεῖ μετὰ βλασφημίας εἰπεῖν τὸ ἀληθὲς, ἐκ πυρὸς συνήγαγε καὶ πολέμου, ταῖς κοιναῖς ἀτυχίαις προσόδῳ τῇ μεγίστῃ χρησάμενος. Ὅτε γὰρ Σύλλας ἑλὼν τὴν πόλιν, ἐπώλει τὰς οὐσίας τῶν ἀνῃρημένων ὑπ' αὐτοῦ, λάφυρα καὶ νομίζων καὶ ὀνομάζων, καὶ βουλόμενος ὅτι πλείστοις καὶ κρατίστοις προσομόρξασθαι τὸ ἄγος, οὔτε λαμβάνων, οὔτ' ὠνούμενος ἀπεῖπε. Πρὸς δὲ τούτοις, ὁρῶν τὰς συγγενεῖς καὶ συνοίκους τῆς Ῥώμης κῆρας, ἐμπρησμοὺς καὶ συνιζήσεις, διὰ βάρος καὶ πλῆθος οἰκοδομημάτων, ἐωνεῖτο δούλους ἀρχιτέκτονας καὶ οἰκοδόμους. Εἶτ' ἔχων τούτους, ὑπὲρ πεντακοσίους ὄντας, ἐξηγόραζε τὰ καιόμενα καὶ γειτνιῶντα τοῖς καιομένοις, διὰ φόβον καὶ ἀδηλότητα τῶν δεσποτῶν ἀπ' ὀλίγης τιμῆς προϊεμένων· ὥστε τῆς Ῥω-

НБ ОНУ imeni I. I. Мечникова

μης τὸ πλεῖστον μέρος ὑπ' αὐτῷ γενέσθαι. Τοσούτους δὲ κεκτημένος τεχνίτας, οὐδὲν ᾠκοδόμησεν αὐτὸς, ἢ τὴν ἰδίαν οἰκίαν· ἀλλ' ἔλεγε τοὺς φιλοικοδόμους αὐτοὺς ὑφ' ἑαυτῶν καταλύεσθαι, χωρὶς ἀνταγωνιστῶν. Ὄντων δ' αὐτῷ παμπόλλων ἀργυρείων, πολυτιμήτου δὲ χώρας, καὶ τῶν ἐργαζομένων ἐν αὐτῇ, ὅμως ἄν τις ἡγήσαιτο μηδὲν εἶναι ταῦτα πάντα πρὸς τὴν τῶν οἰκετῶν τιμήν. Τοσούτους ἐκέκτητο καὶ τοιούτους, ἀναγνώστας, ὑπογραφεῖς, ἀργυρογνώμονας, διοικητὰς, τραπεζοκόμους· αὐτὸς ἐπιστατῶν μανθάνουσι καὶ προσέχων καὶ διδάσκων, καὶ ὅλως νομίζων τῷ δεσπότῃ προσήκειν μάλιστα τὴν περὶ τοὺς οἰκέτας ἐπιμέλειαν, ὡς ὄργανα ἔμψυχα τῆς οἰκονομικῆς. Καὶ τοῦτο μὲν ὀρθῶς ὁ Κράσσος, εἴπερ, ὡς ἔλεγεν, ἡγεῖτο τὰ μὲν ἄλλα διὰ τῶν οἰκετῶν χρῆναι, τοὺς δ' οἰκέτας δι' αὐτοῦ κυβερνᾶν. Τὴν γὰρ οἰκονομικὴν, ἐν ἀψύχοις χρηματιστικὴν οὖσαν, ἐν ἀνθρώποις πολιτικὴν γιγνομένην ὁρῶμεν. Ἐκεῖνο δ' οὐκ εὖ, τὸ μηδένα νομίζειν, μηδὲ φάσκειν εἶναι πλούσιον, ὃς οὐ δύναται τρέφειν ἀπὸ τῆς οὐσίας στρατόπεδον· (ὁ γὰρ πόλεμος οὐ τεταγμένα σιτεῖται, κατὰ τὸν Ἀρχίδαμον· ὥσθ' ὁ πρὸς πόλεμον πλοῦτος ἀόριστος·) καὶ πολὺ τῆς Μαρίου γνώμης ἀπηρτημένως. Ἐκεῖνος γὰρ, ἐπεὶ, κατ' ἄνδρα νείμας ἑκάστῳ δέκα καὶ τέσσαρα πλέθρα γῆς, ἔγνω πλέον ἐπιζητοῦντας· „Μηδεὶς (ἔφη) γένοιτο Ῥωμαίων ὀλίγην ἡγούμενος τὴν τρέφειν ἀρκοῦσαν."

III Οὐ μὴν ἀλλὰ καὶ περὶ ξένους ἦν φιλότιμος ὁ

НБ ОНУ імені І. І. Мечникова

*Κράσσος. Ἀνέῳκτο γὰρ ἡ οἰκία πᾶσι, καὶ τοῖς φίλοις ἐδάνειζεν ἄνευ τόκων· ἀπῄτει δ' ἀποτόμως, τοῦ χρόνου παρελθόντος, εἰς ὃν ἐδάνειζε, καὶ τὸ προῖκα πολλῶν ἐγίνετο τόκων ἐπαχθέστερον. Ἐν δὲ τοῖς δείπνοις ἡ μὲν κλῆσις ἦν ὡς τὰ πολλὰ δημοτικὴ καὶ λαώδης· ἡ δ' εὐτέλεια τὴν καθαριότητα καὶ τὴν φιλοφροσύνην ἡδίονα τοῦ πολυτελοῦς εἶχε. Παιδείας δὲ τῆς περὶ λόγον, μάλιστα μὲν τὸ ῥητορικὸν καὶ χρειῶδες εἰς πολλοὺς ἤσκησε· καὶ γενόμενος δεινὸς εἰπεῖν ἐν τοῖς μάλιστα Ῥωμαίων, ἐπιμελείᾳ καὶ πόνῳ τοὺς εὐφυεστάτους ὑπερέβαλεν. Οὐδεμίαν γὰρ οὕτω δίκην φασὶ μικρὰν, οὐδ' εὐκαταφρόνητον γενέσθαι, πρὸς ἣν ἀπαράσκευος ἦλθεν. Ἀλλὰ καὶ Πομπηΐου πολλάκις ὀκνοῦντος, καὶ Καίσαρος ἐξαναστῆναι καὶ Κικέρωνος, ἐκεῖνος ἀνεπλήρου τὴν συνηγορίαν. Καὶ διὰ τοῦτο μᾶλλον ἤρεσκεν, ὡς ἐπιμελὴς καὶ βοηθητικός. Ἤρεσκε δὲ καὶ τὸ περὶ τὰς δεξιώσεις καὶ προσαγορεύσεις φιλάνθρωπον αὐτοῦ καὶ δημοτικόν. Οὐδενὶ γὰρ οὕτως ἀπήντησε Ῥωμαίων ἀδόξῳ καὶ ταπεινῷ Κράσσος, ὃν ἀσπασάμενον οὐκ ἀντιπροσηγόρευσεν ἐξ ὀνόματος. Λέγεται δὲ καὶ πολυμαθὴς καθ' ἱστορίαν γενέσθαι, καί τι καὶ φιλοσοφῆσαι τοῖς Ἀριστοτέλους λόγοις προσθέμενος· ὧν διδάσκαλον εἶχεν Ἀλέξανδρον, ἄνθρωπον εὐκολίας καὶ πρᾳότητος ἀπόδειξιν διδόντα τὴν πρὸς Κράσσον συνήθειαν. Οὐ γὰρ ἦν ἀποφήνασθαι ῥᾳδίως, πότερον προσῆλθεν αὐτῷ πενέστερος, ἢ προσελθὼν ἐγένετο. Μόνος δ' οὖν ἀεὶ τῶν φίλων, αὐτῷ συναποδημῶν, στέγαστρον*

ἐλάμβανεν εἰς τὴν ὁδόν, καὶ τοῦτ' ἐπανελθὼν ἀπητεῖτο. Φεῦ τῆς ὑπομονῆς, οὐδὲ τὴν πενίαν ὁ τλήμων ἀδιάφορον ἡγούμενος. Ἀλλὰ ταῦτα μὲν ὕστερον.

IV. Ἐπεὶ δὲ Κίννας καὶ Μάριος κρατήσαντες, εὐθὺς ἦσαν ἔνδηλοι κατιόντες οὐκ ἐπ' ἀγαθῷ τῆς πατρίδος, ἐπ' ἀναιρέσει δ' ἄντικρυς καὶ ὀλέθρῳ τῶν ἀρίστων· οἱ μὲν ἐγκαταληφθέντες ἀπέθνησκον, ὧν ἦν καὶ ὁ πατὴρ Κράσσου καὶ ὁ ἀδελφός· αὐτὸς δὲ, νέος ὢν παντάπασι, τὸ μὲν αὐτίκα δεινὸν ἐξέφυγε, πάντη δὲ περιβαλλόμενον ἑαυτὸν αἰσθανόμενος καὶ κυνηγετούμενον ὑπὸ τῶν τυράννων, τρεῖς φίλους ἀναλαβὼν, καὶ θεράποντας δέκα, τάχει δ' ὑπερβάλλοντι χρησάμενος, εἰς Ἰβηρίαν ἔφυγε, γεγονὼς πάλαι στρατηγοῦντος αὐτόθι τοῦ πατρὸς, καὶ φίλους πεποιημένος. Εὑρὼν δὲ πάντας περιδεεῖς, καὶ τὴν ὠμότητα τὴν Μαρίου, καθάπερ ἐφεστῶτος αὐτοῖς, τρέμοντας, οὐδενὶ γενέσθαι φανερὸς ἐθάρρησεν, ἀλλ' εἰς ἀγροὺς ἐμβαλὼν παραλίους Οὐϊβίου Πακιακοῦ, σπήλαιον ἔχοντας εὐμέγεθες, ἔκρυψεν ἑαυτόν. Πρὸς δὲ τὸν Οὐΐβιον ἔπεμψεν ἕνα δοῦλον, ἀποπειρώμενος, ἤδη καὶ τῶν ἐφοδίων ἐπιλιπόντων. Ὁ δὲ Οὐΐβιος ἀκούσας, ἥσθη τε σωζομένῳ, καὶ πυθόμενος τὸ πλῆθος τῶν σὺν αὐτῷ καὶ τὸν τόπον, αὐτὸς μὲν οὐκ ἦλθεν εἰς ὄψιν, τὸν δὲ τῶν χωρίων ἐπίτροπον προσαγαγὼν εὐθὺς, ἐκέλευσε καθ' ἡμέραν δεῖπνον πεποιημένον κομίζειν, καὶ τιθέντα παρὰ τὴν πέτραν, ἀπέρχεσθαι σιωπῇ, καὶ μὴ πολυπραγμονεῖν, μηδ' ἐξετάζειν· προειπὼν πολυπραγμονοῦντι θάνατον, συμπράττοντι δὲ

τοῦτο πιστῶς ἐλευθερίαν. Τὸ δὲ σπήλαιον οὐκ ἄπωθεν μέν ἐστι θαλάσσης· κρημνοὶ δὲ περὶ αὐτὸ συμφερόμενοι λεπτὴν καὶ ἀσαφῆ παραπέμπουσι λαύραν ἄγουσαν εἴσω. Παρελθόντι δ' ὕψος τε θαυμαστὸν ἀναπέπταται, καὶ κατ' εὖρος ἔχει κόλπους δι' ἀλλήλων ἀνοιγομένους μεγάλαις περιφερείαις. Ἀμοιρεῖ δ' οὔτε ὕδατος, οὔτε φωτός· ἀλλὰ πηγὴ μὲν ἡδίστου νάματος ὑποῤῥεῖ παρὰ τὸν κρημνόν· αὐτοφυεῖς δὲ ῥωχμοὶ τῆς πέτρας, ᾗ μάλιστα περιπίπτει τὸ φῶς ἔξωθεν, ὑπολαμβάνουσι, καὶ καταλάμπεται ἡμέρας τὸ χωρίον. Ὁ δ' ἐντὸς ἀὴρ ἀστάλακτος καὶ καθαρός, πυκνότητι τῆς πέτρας τὸ νοτερὸν καὶ ἀποτηκόμενον εἰς τὴν πηγὴν ἐκπιεζούσης.

V. Ἐνταῦθα διατρίβοντι τῷ Κράσσῳ τὰ ἐπιτήδεια καθ' ἡμέραν ἐφοίτα κομίζων ὁ ἄνθρωπος, αὐτὸς μὲν οὐχ ὁρῶν ἐκείνους, οὐδὲ γινώσκων, ὑπ' ἐκείνων δὲ καθορώμενος, εἰδότων καὶ παραφυλαττόντων τὸν καιρόν. Ἦν δ' ἄφθονα, καὶ πρὸς ἡδονήν, οὐ μόνον χρείαν, ποιούμενα τὰ πρὸς τὸ δεῖπνον. Ἐγνώκει γὰρ ὁ Οὐΐβιος ἁπάσῃ φιλοφροσύνῃ θεραπεύειν τὸν Κράσσον. Ὧι γε καὶ τὸ τῆς ὥρας ἐν τῷ λαβεῖν ἐπῆλθεν, ὡς παντάπασι νεανίας εἴη, καί τι καὶ ταῖς καθ' ἡλικίαν ἡδοναῖς αὐτοῦ χαριστέον· ἐπεὶ τήν γε χρείαν ἀναγκαίως μᾶλλον, ἢ προθύμως, ὑπουργοῦντος εἶναι. Δύο δὴ θεραπαινίδας εὐπρεπεῖς ἀναλαβὼν ἐβάδιζεν ἐπὶ τὴν θάλασσαν. Ὡς δ' ἦλθεν ἐπὶ τὸν τόπον, δείξας τὴν ἄνοδον, ἐκέλευεν εἴσω πορεύεσθαι καὶ θαῤῥεῖν. Οἱ δὲ περὶ τὸν Κράσσον, ἰδόντες προσερχομένας, ἔδει-



НБ ОНУ імені І.І. Мечникова

σαν, μὴ καταφανὲς καὶ γνώριμον εἴη τὸ χωρίον. Ἀνέκρινον οὖν αὐτὰς, τί βούλονται, καὶ τίνες εἰσίν. Ὡς δ' ἀπεκρίναντο δεδιδαγμέναι, δεσπότην ζητεῖν ἐνταῦθα κρυπτόμενον, μαθὼν ὁ Κράσσος τοῦ Οὐιβίου τὴν πρὸς αὐτὸν παιδιὰν καὶ φιλοφροσύνην, ἀνέλαβε τὰς παιδίσκας. Καὶ συνῆσαν αὐτῷ τὸν λοιπὸν χρόνον, ὧν ἐδεῖτο φράζουσαι καὶ διαγγέλλουσαι πρὸς τὸν Οὐίβιον. Τούτων φησὶ τὴν ἑτέραν ἤδη πρεσβῦτιν οὖσαν ὁ Φενεστέλλας ἰδεῖν αὐτὸς, καὶ πολλάκις ἀκοῦσαι μεμνημένης ταῦτα καὶ διεξιούσης προθύμως.

VI. Ὁ δὲ Κράσσος, ὀκτὼ μῆνας οὕτω διαγαγὼν καὶ διακλαπεὶς, ἅμα τῷ πυθέσθαι τὴν Κίννα τελευτὴν φανερὸς γενόμενος, συνδραμόντων πρὸς αὐτὸν οὐκ ὀλίγων ἀνθρώπων, ἐπιλεξάμενος δισχιλίους καὶ πεντακοσίους, ἐπήρχετο τὰς πόλεις· καὶ μίαν γε διήρπασε Μαλάκην, ὡς πολλοὶ γεγράφασιν· αὐτὸν δὲ φασιν ἀρνεῖσθαι καὶ διαμάχεσθαι πρὸς τοὺς λέγοντας. Ἐκ τούτου συναγαγὼν πλοῖα, καὶ διαπεράσας εἰς Λιβύην, ἀφίκετο πρὸς Μέτελλον Πίον, ἔνδοξον ἄνδρα, συνειληχότα στρατιὰν οὐκ εὐκαταφρόνητον. Οὐ πολὺν δὲ χρόνον ἐνταῦθα παρέμεινεν, ἀλλὰ στασιάσας τῷ Μετέλλῳ, πρὸς Σύλλαν ἀπῆρε, καὶ συνῆν ἐν τοῖς μάλιστα τιμώμενος. Ἐπεὶ δὲ διαβὰς εἰς Ἰταλίαν ὁ Σύλλας, πάντας ἠβούλετο τοὺς σὺν αὐτῷ νέους ἔχειν ἐνεργοὺς, καὶ πρὸς ἄλλην ἄλλον ἔταττε πρᾶξιν, ἀποστελλόμενος εἰς Μαρσοὺς ἐπὶ στρατείαν ὁ Κράσσος, ᾔτει φύλακας· ἦν γὰρ ἡ πάροδος παρὰ τοὺς πολεμίους. Εἰπόντος δὲ τοῦ Σύλλα σὺν ὀργῇ καὶ

σφόδρα πρὸς αὐτὸν, „Δίδωμί σοι φύλακας, τὸν πατέρα, τὸν ἀδελφὸν, τοὺς φίλους, τοὺς συγγενεῖς, ὧν παρανόμως καὶ ἀδίκως ἀναιρεθέντων, ἔργῳ μετέρχομαι τοὺς φονεῖς·“ οὕτω παθὼν τι καὶ παροξυνθεὶς ὁ Κράσσος, εὐθὺς ἐξῆλθε, καὶ διὰ τῶν πολεμίων ὠσάμενος εὐρώστως, δύναμίν τε συχνὴν ἤθροισε, καὶ πρόθυμον αὐτὸν ἐν τοῖς ἀγῶσι τῷ Σύλλᾳ παρεῖχεν. Ἀπ᾽ ἐκείνων δὲ τῶν πράξεων λέγουσιν αὐτῷ πρῶτον ἐγγενέσθαι τὴν πρὸς Πομπήϊον ὑπὲρ δόξης ἅμιλλαν καὶ φιλοτιμίαν. Ὁ γὰρ Πομπήϊος ἡλικίᾳ τε λειπόμενος αὐτοῦ, καὶ πατρὸς γεγονὼς ἀδοξήσαντος ἐν Ῥώμῃ, καὶ μισηθέντος ἔσχατον μῖσος ὑπὸ τῶν πολιτῶν, ἐν ἐκείνοις τοῖς πράγμασιν ἐξέλαμψε καὶ διεφάνη μέγας, ὥστε Σύλλαν, ἃ πρεσβυτέροις καὶ ἰσοτίμοις οὐ πάνυ πολλάκις παρεῖχεν, ὑπεξανίστασθαι προσιόντος αὐτοῦ, καὶ κεφαλὴν ἀποκαλύπτεσθαι, καὶ προσειπεῖν αὐτοκράτορα. Ταῦτα διέκαιε καὶ παρώξυνε τὸν Κράσσον, οὐκ ἀλόγως ἐλασσούμενον. Ἐμπειρίας τε γὰρ ἐνδεὴς ἦν, καὶ τῶν πράξεων αὐτοῦ τὴν χάριν ἀφῄρουν αἱ συγγενεῖς κῆρες ἐπιφερόμεναι, φιλοκέρδεια καὶ μικρολογία. Καὶ γὰρ πόλιν Ὀμβρικὴν Τουρδετίαν ἑλὼν ἔδοξε πλεῖστα τῶν χρημάτων σφετερίσασθαι, καὶ διεβλήθη πρὸς Σύλλαν. Ἀλλ᾽ ἔν γε τῷ περὶ τὴν Ῥώμην ἀγῶνι, πάντων γενομένῳ μεγίστῳ καὶ τελευταίῳ, Σύλλας μὲν ἡττήθη, τῶν κατ᾽ αὐτὸν ὠσθέντων, ἐνίων δὲ καὶ συντριβέντων· Κράσσος δὲ τὸ δεξιὸν κέρας ἔχων ἐνίκησε, καὶ μέχρι νυκτὸς διώξας τοὺς πολεμίους, ἔπεμψε πρὸς Σύλλαν, δει-

πνον αἰτῶν τοῖς στρατιώταις, καὶ τὸ κατόρθωμα φράζων. Ἐν δὲ ταῖς προγραφαῖς καὶ δημεύσεσι πάλιν κακῶς ἤκουσεν, ὠνούμενός τε τιμῆς βραχείας μεγάλα πράγματα, καὶ δωρεὰς αἰτῶν. Ἐν δὲ Βρεττίοις λέγεται καὶ προγράψαι τινά, οὐ Σύλλα κελεύσαντος, ἀλλ' ἐπὶ χρηματισμῷ· δι' ὃ καὶ Σύλλαν καταγνόντα, πρὸς μηδὲν ἔτι χρῆσθαι δημόσιον αὐτῷ. Καίτοι δεινότατος ἦν Κράσσος πάντας ἀνθρώπους κολακείᾳ κατεργάσασθαι, πάλιν δ' αὐτὸς ὑπὸ πάντων διὰ κολακείας εὐάλωτος. Ἴδιον δὲ κἀκεῖνο περὶ αὐτοῦ λέγεται, φιλοκερδέστατον ὄντα, μάλιστα μισεῖν καὶ λοιδορεῖν τοὺς ὁμοίους.

VII. Ἠνία δὲ Πομπήϊος αὐτὸν εὐημερῶν ἐν ἡγεμονίαις, καὶ πρὶν ἢ βουλῆς μεταλαβεῖν, θριαμβεύων, καὶ Μάγνος, ὅπερ ἐστὶ μέγας, ὑπὸ τῶν πολιτῶν ἀναγορευθείς. Καί ποτε φήσαντός τινος, ὡς Πομπήϊος Μάγνος πρόσεισι, γελάσας ἠρώτησεν, ὡς πηλίκος. Ἀπογνοὺς δὲ τοῖς πολεμικοῖς ἐξισώσασθαι πρὸς ἐκεῖνον, ὑπεδύετο τὴν πολιτείαν, σπουδαῖς καὶ συνηγορίαις καὶ δανεισμοῖς, καὶ τῷ συμπαραγγέλλειν καὶ συνεξετάζεσθαι τοῖς δεομένοις τι τοῦ δήμου, κτώμενος δύναμιν ἀντίπαλον καὶ δόξαν, ᾗ Πομπήϊος εἶχεν ἀπὸ πολλῶν καὶ μεγάλων στρατειῶν. Καὶ πρᾶγμα συνέβαινεν αὐτοῖς ἴδιον. Μεῖζον γὰρ ἦν ἀπόντος ὄνομα τοῦ Πομπηΐου καὶ κράτος ἐν τῇ πόλει, διὰ τὰς στρατείας· παρὼν δὲ πολλάκις ἠλαττοῦτο τοῦ Κράσσου, διὰ τὸν ὄγκον καὶ τὸ πρόσχημα τοῦ βίου, φεύγων τὰ πλήθη, καὶ ἀναδυόμενος ἐξ ἀγορᾶς, καὶ

НБ ОНУ імені І. І. Мечникова

τῶν δεομένων ὀλίγοις καὶ μὴ πάνυ προθύμως βοηθῶν, ὡς ἀκμαιοτέραν ἔχοι τὴν δύναμιν ὑπὲρ αὐτοῦ χρώμενος. Ὁ δὲ Κράσσος ἐνδελεχὲς τὸ χρήσιμον ἔχων, καὶ σπάνιος οὐκ ὢν, οὐδὲ δυσπρόσοδος, ἀλλ᾽ ἐν μέσαις ἀεὶ ταῖς σπουδαῖς ἀναστρεφόμενος, τῷ κοινῷ καὶ φιλανθρώπῳ περιεγίνετο τῆς ἐκείνου σεμνότητος. Σώματος δ᾽ ἀξίωμα, καὶ λόγου πειθὼ, καὶ προσώπου χάριν ἀγωγὸν ἀμφοτέροις ὁμοίως προσεῖναι λέγουσιν. Οὐ μέντοι πρὸς ἔχθραν τινὰ Κράσσον ἢ κακόνοιαν, ἐξήνεγκεν οὗτος ὁ ζῆλος· ἀλλὰ καὶ Πομπηίῳ καὶ Καίσαρι τιμωμένοις μὲν ὑπὲρ αὐτὸν ἤχθετο, τῇ δὲ φιλοτιμίᾳ ταύτῃ δυσμένειαν, ἢ κακοήθειαν, οὐ συνῆπτε· καίτοι Καῖσαρ, ὑπὸ λῃστῶν ἁλοὺς ἐν Ἀσίᾳ, καὶ φρουρούμενος, ἀνεβόησεν· „Ἡλίκης, ὦ Κράσσε, χαρᾶς ἀπολαύσεις, πυθόμενος τὴν ἐμὴν ἅλωσιν!" Ἀλλ᾽ ὕστερόν γε φιλικῶς ἀλλήλοις προσεφέροντο· καί ποτε τῷ Καίσαρι μέλλοντι μὲν εἰς Ἰβηρίαν ἐξιέναι στρατηγῷ, χρήματα δ᾽ οὐκ ἔχοντι, τῶν δανειστῶν ἐπιπεσόντων, καὶ τῆς παρασκευῆς ἐπιλαμβανομένων, ὁ Κράσσος οὐ περιεῖδεν, ἀλλ᾽ ἀπήλλαξεν, ὑποθεὶς αὐτὸν ἔγγυον τριάκοντα καὶ ὀκτακοσίων ταλάντων. Καθόλου δὲ τῆς Ῥώμης εἰς τρεῖς νενεμημένης δυνάμεις, τὴν Πομπηΐου, τὴν Καίσαρος, τὴν Κράσσου, (Κάτωνος γὰρ ἡ δόξα μείζων ἦν τῆς δυνάμεως, καὶ τῷ θαυμαζομένῳ πλέον ἴσχυεν) ἡ μὲν ἔμφρων καὶ καθεστῶσα μερὶς ἐν τῇ πόλει Πομπήϊον ἐθεράπευε· τὸ δ᾽ ὀξὺ καὶ φερόμενον μετ᾽ εὐχερείας ταῖς Καίσαρος ἐλπίσιν ἐπηκολούθει· Κράσ-

σος δὲ μέσος ὢν, ἀμφοτέραις ἐχρῆτο, καὶ πλείστας μεταβολὰς ἐν τῇ πολιτείᾳ μεταβαλλόμενος, οὔτε φίλος ἦν βέβαιος, οὔτ' ἀνήκεστος ἐχθρὸς, ἀλλὰ ῥαδίως καὶ χάριτος καὶ ὀργῆς ἐξέπιπτεν ὑπὸ τοῦ συμφέροντος, ὥστε πολλάκις μὲν ἀνθρώπων, πολλάκις δὲ νόμων, ἐν ὀλίγῳ φανῆναι τῶν αὐτῶν συνήγορος καὶ ἀντίδικος. Ἴσχυε δὲ χάριτι καὶ φόβῳ, φόβῳ δ' οὐκ ἔλαττον. Ὁ γοῦν πλεῖστα πράγματα παρασχὼν τοῖς καθ' αὐτὸν ἄρχουσι καὶ δημαγωγοῖς, Σικίννιος, πρὸς τὸν εἰπόντα· Τί δὴ μόνον οὐ σπαράττει τὸν Κράσσον, ἀλλὰ παρίησιν αὐτόν· χόρτον ἔχειν ἔφησεν ἐπὶ τοῦ κέρατος. Εἰώθεσαν δὲ Ῥωμαῖοι τὸν κυρίττοντα τῶν βοῶν, ὑπὲρ τοῦ φυλάττεσθαι τοὺς ἐντυγχάνοντας, χόρτῳ περιελίσσειν τὸ κέρας.

VIII. Ἡ δὲ τῶν μονομάχων ἐπανάστασις καὶ λεηλασία τῆς Ἰταλίας, ἣν οἱ πολλοὶ Σπαρτάκειον πόλεμον ὀνομάζουσιν, ἀρχὴν ἔλαβεν ἐκ τοιαύτης αἰτίας. Λέντλου τινὸς Βατιάτου μονομάχους ἐν Καπύῃ τρέφοντος, ὧν οἱ πολλοὶ Γαλάται καὶ Θρᾷκες ἦσαν, ἐξ αἰτιῶν οὐ πονηρῶν, ἀλλ' ἀδικίᾳ τοῦ πριαμένου συνειρχθέντες ὑπ' ἀνάγκης ἐπὶ τῷ μονομαχεῖν, ἐβουλεύσαντο μὲν διακόσιοι φεύγειν· γενομένης δὲ μηνύσεως, οἱ προαισθόμενοι καὶ φθάσαντες, ὀγδοήκοντα δυεῖν δέοντες, ἔκ τινος ὀπτανείου κοπίδας ἀράμενοι καὶ ὀβελίσκους, ἐξεπήδησαν. Ἐντυχόντες δὲ κατὰ τὴν ὁδὸν ἁμάξαις ὅπλα κομιζούσαις μονομάχων εἰς ἑτέραν πόλιν, ἀφήρπασαν καὶ ὡπλίσαντο· καὶ τόπον τινὰ καρτερὸν καταλαβόντες, ἡγεμό

νας εἵλοντο τρεῖς, ὧν πρῶτος ἦν Σπάρτακος, ἀνὴρ Θρᾷξ, τοῦ Νομαδικοῦ γένους, οὐ μόνον φρόνημα μέγα καὶ ῥώμην ἔχων, ἀλλὰ καὶ συνέσει καὶ πρᾳότητι τῆς τύχης ἀμείνων, καὶ τοῦ γένους Ἑλληνικώτερος. Τούτῳ δὲ λέγουσιν, ὅτε πρῶτον εἰς Ῥώμην ὤνιος ἤχθη, δράκοντα κοιμωμένῳ περιπεπλεγμένον φανῆναι περὶ τὸ πρόσωπον. Γυνὴ δ' ὁμόφυλος οὖσα τοῦ Σπαρτάκου, μαντικὴ δὲ καὶ κάτοχος τοῖς περὶ τὸν Διόνυσον ὀργιασμοῖς, ἔφραζε τὸ σημεῖον εἶναι μεγάλης καὶ φοβερᾶς περὶ αὐτὸν εἰς ἀτυχὲς τέλος ἐσομένης δυνάμεως· ἣ καὶ τότε συνῆν αὐτῷ καὶ συνέφευγε.

IX. Καὶ πρῶτον μὲν τοὺς ἐκ Καπύης ἐλθόντας ὠσάμενοι, καὶ πολλῶν ὅπλων ἐπιλαβόμενοι πολεμιστηρίων, ἄσμενοι ταῦτα μετελάμβανον, ἀπορρίψαντες, ὡς ἄτιμα καὶ βάρβαρα, τὰ τῶν μονομάχων. Ἔπειτα Κλωδίου στρατηγοῦ μετὰ τρισχιλίων πεμφθέντος ἐκ Ῥώμης, καὶ πολιορκοῦντος αὐτοὺς ἐν ὄρει μίαν ἔχοντι καὶ χαλεπὴν καὶ στενὴν ἄνοδον, ἣν ὁ Κλώδιος ἐφρούρει, τὰ δ' ἄλλα κρημνοὺς ἀποτόμους καὶ λισσάδας, ἄμπελον δὲ πολλὴν ἀγρίαν ἐπιπολῆς πεφυκυῖαν, ἔτεμνον τῶν κλημάτων τὰ χρήσιμα· καὶ συμπλέκοντες ἐξ αὐτῶν κλιμακίδας εὐτόνους καὶ βαθείας, ὥστ' ἄνωθεν ἀνηρτημένας παρὰ τὸ κρημνῶδες ἅπτεσθαι τῶν ἐπιπέδων, κατέβαινον ἀσφαλῶς δι' αὐτῶν, πλὴν ἑνός. Οὗτος δὲ τῶν ὅπλων ἕνεκα μείνας, ἐπεὶ κατέβησαν, ἠφίει κάτω τὰ ὅπλα, καὶ βαλὼν ἅπαντα, τελευταῖος ἀπεσώζετο καὶ αὐτός. Ταῦτ'

НБ ОНУ імені І.І. Мечникова

ἠγνόουν οἱ Ῥωμαῖοι· δι' ὃ καὶ περιελθόντες αὐτοὺς, ἐξέπληξαν τῷ αἰφνιδίῳ, καὶ φυγῆς γενομένης, ἔλαβον τὸ στρατόπεδον. Καὶ προσεγένοντο πολλοὶ τῶν αὐτόθι βοτήρων καὶ ποιμένων αὐτοῖς, πλῆκται καὶ ποδώκεις ἄνδρες· ὧν τοὺς μὲν ὥπλιζον, τοῖς δὲ προδρόμοις καὶ ψιλοῖς ἐχρῶντο. Δεύτερος ἐκπέμπεται πρὸς αὐτοὺς στρατηγὸς, Πούπλιος Βαρῖνος, οὗ πρῶτα μὲν ὑποστρατηγόν τινα Φούριον, ἔχοντα δισχιλίους στρατιώτας, ἐτρέψαντο συμβαλόντες· ἔπειτα σύμβουλον αὐτοῦ καὶ συνάρχοντα Κοσσίνιον, ἀποσταλέντα μετὰ πολλῆς δυνάμεως, ἐπιτηρήσας ὁ Σπάρτακος λουόμενον περὶ Σαλίνας, μικρὸν ἐδέησε συναρπάσαι. Χαλεπῶς δὲ καὶ μόλις ἐκφυγόντος, εὐθὺς μὲν ἐκράτησε τῆς ἀποσκευῆς· ἐκ ποδὸς δὲ κατέχων καὶ διώκων φόνῳ πολλῷ τὸ στρατόπεδον εἷλεν. Ἔπεσε δὲ καὶ Κοσσίνιος. Αὐτὸν δὲ τὸν στρατηγὸν ἄλλαις μάχαις πολλαῖς καταγωνισάμενος, τέλος τούς τε ῥαβδούχους καὶ τὸν ἵππον αὐτοῦ λαβὼν, ἤδη μὲν μέγας καὶ φοβερὸς ἦν. Ἐφρόνει δὲ τὰ εἰκότα, καὶ μὴ προσδοκῶν ὑπερβαλέσθαι τὴν Ῥωμαίων δύναμιν, ἦγεν ἐπὶ τὰς Ἄλπεις τὸν στρατὸν, οἰόμενος δεῖν ὑπερβαλόντας αὐτὰς ἐπὶ τὰ οἰκεῖα χωρεῖν, τοὺς μὲν εἰς Θρᾴκην, τοὺς δ' εἰς Γαλατίαν. Οἱ δὲ, πλήθει τε ὄντες ἰσχυροὶ καὶ μέγα φρονοῦντες, οὐχ ὑπήκουον, ἀλλ' ἐπόρθουν ἐπιπορευόμενοι τὴν Ἰταλίαν. Οὐκέτ' οὖν τὸ παρ' ἀξίαν καὶ τὸ αἰσχρὸν ἠνώχλει τῆς ἀποστάσεως τὴν σύγκλητον· ἀλλὰ δὴ διὰ φόβον τε καὶ κίνδυνον, ὡς πρὸς ἕνα τῶν δυσκολω-

НБ ОНУ імені І.І. Мечникова

τάτων πολέμων καὶ μεγίστων, ἀμφοτέρους ἐξέπεμπον τοὺς ὑπάτους. Ὧν Γέλλιος μὲν τὸ Γερμανικὸν, ὕβρει καὶ φρονήματι τῶν Σπαρτακείων ἀποσχισθὲν, ἐξαίφνης ἐμπεσὼν ἅπαν διέφθειρε· Λέντλου δὲ τὸν Σπάρτακον μεγάλοις στρατοπέδοις περιλαβόντος, ὁρμήσας ὁμόσε, καὶ μάχην συνάψας, ἐκράτησε μὲν τῶν πρεσβευτῶν, ἔλαβε δὲ τὴν ἀποσκευὴν ἅπασαν. Ὠθουμένῳ δ' αὐτῷ πρὸς τὰς Ἄλπεις Κάσσιος, ὁ τῆς περὶ Πάδον Γαλατίας στρατηγὸς, ἔχων μυρίους, ἀπήντησε· καὶ γενομένης μάχης κρατηθεὶς, καὶ πολλοὺς ἀποβαλὼν, μόλις αὐτὸς ἐξέφυγε.

X. Ταῦθ' ἡ βουλὴ πυθομένη, τοὺς μὲν ὑπάτους πρὸς ὀργὴν ἐκέλευσεν ἡσυχίαν ἄγειν, Κράσσον δὲ τοῦ πολέμου στρατηγὸν εἵλετο. Καὶ πολλοὶ διὰ δόξαν αὐτῷ καὶ φιλίαν συνεστράτευον τῶν ἐπιφανῶν. Αὐτὸς μὲν οὖν ὑπέμεινε πρὸ τῆς Πικηνίδος, ὡς τὸν Σπάρτακον ἐκεῖ φερόμενον δεξόμενος· Μώμιον δὲ πρεσβευτὴν, ἄγοντα δύο τάγματα, κύκλῳ περιέπεμψεν, ἕπεσθαι κελεύσας τοῖς πολεμίοις, συμπλέκεσθαι δὲ μὴ, μηδ' ἀψιμαχεῖν. Ὁ δ', ἅμα τῷ πρῶτον ἐπ' ἐλπίδος γενέσθαι, μάχην θέμενος, ἡττήθη· καὶ πολλοὶ μὲν ἔπεσον, πολλοὶ δ' ἄνευ τῶν ὅπλων φεύγοντες ἐσώθησαν. Ὁ δὲ Κράσσος αὐτόν τε τὸν Μώμιον ἐδέξατο τραχέως, καὶ τοὺς στρατιώτας ὁπλίζων αὖθις, ἐγγυητὰς ᾔτει τῶν ὅπλων, ὅτι φυλάξουσι. Πεντακοσίους δὲ τοὺς πρώτους, καὶ μάλιστα τοὺς τρέσαντας, εἰς πεντήκοντα διανείμας δεκάδας, ἀφ' ἑκάστης ἀπέκτεινεν ἕνα τὸν κλήρῳ λα-

НБ ОНУ імені І.І. Мечникова

χοντα· πάτριόν τι τοῦτο διὰ πολλῶν χρόνων κόλασμα τοῖς στρατιώταις ἐπανάγων. Καὶ γὰρ αἰσχύνη τοῦ θανάτου τῷ τρόπῳ πρόσεστι, καὶ δρᾶται πολλὰ φρικώδη καὶ σκυθρωπὰ περὶ τὴν κόλασιν, ἁπάντων θεωμένων. Οὕτω δ' ἐπιστρέψας τοὺς ἄνδρας, ἦγεν ἐπὶ τοὺς πολεμίους. Ὁ δὲ Σπάρτακος ὑπεξεχώρει διὰ Λευκανίας εἰς τὴν θάλασσαν· ἐν δὲ πορθμῷ λῃστρίσι Κιλίσσαις ἐπιτυχὼν, ὥρμησεν ἅψασθαι Σικελίας, καὶ δισχιλίους ἄνδρας ἐμβαλὼν εἰς τὴν νῆσον, αὖθις ἐκζωπυρῆσαι τὸν δουλικὸν ἐκεῖ πόλεμον, οὔπω πολὺν χρόνον ἀπεσβηκότα, καὶ μικρῶν πάλιν ὑπεκκαυμάτων δεόμενον. Ὁμολογήσαντες δ' οἱ Κίλικες αὐτῷ, καὶ δῶρα λαβόντες, ἐξηπάτησαν καὶ ἀπέπλευσαν. Οὕτω δὴ πάλιν ἀπὸ θαλάσσης ἀναζεύξας, ἐκάθιζε τὸν στρατὸν εἰς τὴν Ῥηγίνων χεῤῥόνησον. Ἐπελθὼν δ' ὁ Κράσσος, καὶ τοῦ τόπου τὴν φύσιν ὁρῶν ὑφηγουμένην τὸ δέον, ὥρμησεν ἀποτειχίσαι τὸν ἰσθμόν· ἅμα καὶ τὴν σχολὴν τῶν στρατιωτῶν ὑφαιρῶν, καὶ τὴν εὐπορίαν τῶν πολεμίων. Μέγα μὲν οὖν ἦν καὶ χαλεπὸν τὸ ἔργον, ἤνυσε δὲ καὶ κατειργάσατο παρὰ δόξαν ἐν ὀλίγῳ χρόνῳ, τάφρον ἐμβαλὼν ἐκ θαλάσσης εἰς θάλασσαν διὰ τοῦ αὐχένος, σταδίων τριακοσίων, εὖρος δὲ καὶ βάθος πεντεκαίδεκα ποδῶν. Ὑπὲρ δὲ τῆς τάφρου τεῖχος ἔστησεν ὕψει καὶ ῥώμῃ θαυμαστόν. Ὧν ὁ Σπάρτακος ἠμέλει καὶ κατεφρόνει τὸ πρῶτον. ὡς δὲ, τῆς λείας ὑπολειπούσης, προϊέναι βουλόμενος συνεῖδε τὸν ἀποτειχισμὸν, καὶ λαμβάνειν οὐδὲν ἦν ἐκ τῆς χεῤῥονη-

НБ ОНУ імені І.І. Мечникова

σου, νύκτα νιφετώδη καὶ πνεύματι χειμέριον παραφυλάξας, ἔχωσε τῆς τάφρου μέρος οὐ πολὺ γῇ καὶ ὕλῃ καὶ κλάδοις δένδρων, ὥστε τῆς στρατιᾶς περαιῶσαι τὸ τρίτον.

XI. Ἐφοβήθη μὲν οὖν ὁ Κράσσος, μὴ λάβοι τις ὁρμὴ τὸν Σπάρτακον ἐπὶ τὴν Ῥώμην ἐλαύνειν. Ἐθάῤῥησε δὲ, πολλῶν ἐκ διαφορᾶς ἀποστάντων αὐτοῦ, καὶ στρατοπεδευσαμένων καθ' αὑτοὺς ἐπὶ Λευκανίδος λίμνης, ἥν φασι τρέπεσθαι διὰ χρόνου γινομένην γλυκεῖαν, καὶ αὖθις ἁλμυρὰν καὶ ἄποτον. Τούτους ἐπελθὼν ὁ Κράσσος ἐξέωσε μὲν ἀπὸ τῆς λίμνης, ἀφῃρέθη δὲ τὸν φόνον καὶ τὴν δίωξιν αὐτῶν, ἐπιφανέντος ὀξέως τοῦ Σπαρτάκου, καὶ τὴν φυγὴν ἐπιστήσαντος. Γεγραφὼς δὲ τῇ βουλῇ πρότερον, ὡς χρὴ καὶ Λούκουλλον ἐκ Θρᾴκης καλεῖν, καὶ Πομπήϊον ἐξ Ἰβηρίας, μετενόει, καὶ πρὶν ἥκειν ἐκείνους, ἔσπευδε διαπράξασθαι τὸν πόλεμον· εἰδὼς, ὅτι τοῦ προσγενομένου καὶ βοηθήσαντος, οὐχ αὐτοῦ, τὸ κατόρθωμα δόξει. Πρῶτον μὲν οὖν διαγνοὺς τοῖς ἀφεστῶσι καὶ κατ' ἰδίαν στρατευομένοις, ὧν ἀφηγοῦντο Γάϊος Καννίκιος καὶ Κάστος, ἐπιθέσθαι, λόφον τινὰ προκαταληψομένους ἄνδρας ἑξακισχιλίους ἀπέστειλε, λανθάνειν κελεύσας πειρᾶσθαι. Οἱ δ' ἐπειρῶντο μὲν τὴν αἴσθησιν ἀποκρύπτειν, τὰ κράνη καταμπέχοντες· ὀφθέντες δ' ὑπὸ δυοῖν γυναικῶν προθυομένων τοῖς πολεμίοις, ἐκινδύνευσαν, εἰ μὴ Κράσσος, ὀξέως ἐπιφανεὶς, μάχην ἔθετο πασῶν καρτερωτάτην, ἐν ᾗ τριακοσίους ἐπὶ δισχιλίοις καὶ μυρίους,

καταβαλὼν, δύο μόνους εὗρε κατὰ νῶτον τετρωμένους· οἱ δ' ἄλλοι πάντες ἑστῶτες ἐν τάξει, καὶ μαχόμενοι τοῖς Ῥωμαίοις, ἀπέθανον. Σπαρτάκῳ δὲ, μετὰ τὴν τούτων ἧτταν ἀναχωροῦντι πρὸς τὰ ὄρη τὰ Πετηλῖνα, Κόϊντος τῶν περὶ Κράσσον ἡγεμόνων, καὶ Σκρώφας ταμίας, ἐξαπτόμενοι παρηκολούθουν. Ἐπιστρέψαντος δὲ, γίνεται φυγὴ μεγάλη τῶν Ῥωμαίων, καὶ μόλις τρωθέντα τὸν ταμίαν ἁρπάσαντες ἀπεσώθησαν. Τοῦτο τὸν Σπάρτακον ἀπώλεσε τὸ κατόρθωμα, φρονήματος ἐπιγενομένου τοῖς δραπέταις. Οὐκέτι γὰρ ἠξίουν φυγομαχεῖν, οὐδ' ἐπείθοντο τοῖς ἄρχουσιν, ἀλλ' ἤδη καθ' ὁδὸν ὄντες, ἐν τοῖς ὅπλοις περισχόντες, ἠνάγκασαν αὖθις ὀπίσω διὰ τῆς Λευκανίας ἄγειν ἐπὶ τοὺς Ῥωμαίους, εἰς ταὐτὸ τῷ Κράσσῳ σπεύδοντες. Ἤδη γὰρ ὁ Πομπήϊος προσιὼν ἀπηγγέλλετο· καὶ δὴ ἀρχαιρεσιάζοντες ἔφησαν οὐκ ὀλίγοι, τὴν νίκην ἐκείνῳ τοῦ πολέμου προσήκειν· ἐλθόντα γὰρ εὐθὺς μαχεῖσθαι καὶ καταλύσειν τὸν πόλεμον. Ἐπειγόμενος οὖν διαγωνίσασθαι, καὶ παραστρατοπεδεύσασθαι τοῖς πολεμίοις, ὤρυττε τάφρον· πρὸς ἣν ἐκπηδῶντες οἱ δοῦλοι προσεμάχοντο τοῖς ἐργαζομένοις. Ἀεὶ δὲ πλειόνων ἑκατέρωθεν ἐκβοηθούντων, ὁρῶν τὴν ἀνάγκην ὁ Σπάρτακος, ἅπαν παρέταξε τὸ στράτευμα. Καὶ πρῶτον μὲν τοῦ ἵππου προσαχθέντος αὐτῷ, σπασάμενος τὸ ξίφος, καὶ εἰπὼν, ὅτι νικῶν μὲν ἕξοι πολλοὺς ἵππους καὶ καλοὺς τῶν πολεμίων, ἡττώμενος δὲ οὐ δεῖται, κατέσφαξε τὸν ἵππον. „Ἔπειτα πρὸς Κράσσον αὐτὸν ὠθούμενος, διὰ

πολλῶν ὅπλων καὶ τραυμάτων, ἐκείνου μὲν οὐκ ἔτυχεν, ἑκατοντάρχας δὲ δύο συμπεσόντας ἀνεῖλε. Τέλος δέ, φυγόντων τῶν περὶ αὐτόν, αὐτὸς ἑστώς, καὶ κυκλωθεὶς ὑπὸ πολλῶν, ἀμυνόμενος κατεκόπη. Κράσσου δὲ τῇ τύχῃ χρησαμένου, καὶ στρατηγήσαντος ἄριστα, καὶ τὸ σῶμα τῷ κινδύνῳ παρασχόντος, ὅμως οὐ διέφυγε τὸ κατόρθωμα τὴν Πομπηΐου δόξαν. Οἱ γὰρ διαπεσόντες αὐτῷ διεφθάρησαν· ὥστε καὶ γράψαι πρὸς τὴν σύγκλητον, ὅτι μάχῃ μὲν τοὺς δραπέτας φανερᾷ Κράσσος νενίκηκεν, αὐτὸς δὲ τοῦ πολέμου τὴν ῥίζαν ἀνῄρηκε. Πομπήϊος μὲν οὖν ἀπὸ Σερτωρίου καὶ Ἰβηρίας ἐπιφανῶς ἐθριάμβευσε· Κράσσος δὲ τὸν μὲν μέγαν θρίαμβον οὐδ᾽ αὐτὸς αἰτεῖν ἐπεχείρησεν· ἐδόκει δὲ καὶ τὸν πεζόν, ὀούαν δὲ καλούμενον, ἀγεννῶς καὶ παρ᾽ ἀξίαν ἐπὶ δουλικῷ πολέμῳ θριαμβεῦσαι. Τί δ᾽ οὗτος ἐκείνου διαφέρει, καὶ περὶ τῆς κλήσεως, ἐν τῷ Μαρκέλλου βίῳ γέγραπται.

XII. Μετὰ δὲ ταῦτα τοῦ Πομπηΐου αὐτόθεν ἐπὶ τὴν ὑπατείαν καλουμένου, ἐλπίδας ἔχων ὁ Κράσσος συνάρξειν, ὅμως οὐκ ὤκνησε τοῦ Πομπηΐου δεηθῆναι. Δεξάμενος δὲ τὴν χρείαν ἀσμένως ἐκεῖνος, (ἐπεθύμει γὰρ ἁμωσγέπως ἀεὶ χάριτός τινος ὀφειλέτην λαβεῖν τὸν Κράσσον) ἐσπούδασε προθύμως· καὶ τέλος εἶπεν ἐκκλησιάζων, ὡς οὐκ ἐλάττονα περὶ τοῦ συνάρχοντος ἕξει χάριν, ἢ περὶ τῆς ἀρχῆς. Οὐ μὴν ἔμειναν ἐπὶ τῆς αὐτῆς φιλοφροσύνης εἰς τὴν ἀρχὴν καταστάντες· ἀλλ᾽ ὀλίγου δεῖν περὶ πάντων δια-

НБ ОНУ імені І.І. Мечникова

φερόμενοι, καὶ πάντα δυσκολαίνοντες ἀλλήλοις καὶ φιλονεικοῦντες, ἀπολίτευτον καὶ ἄπρακτον αὐτοῖς τὴν ὑπατείαν ἐποίησαν· πλὴν ὅτι Κράσσος Ἡρακλεῖ μεγάλην θυσίαν ποιησάμενος, εἱστίασε τὸν δῆμον ἀπὸ μυρίων τραπεζῶν, καὶ σῖτον ἐμέτρησεν εἰς τρίμηνον. Ἤδη δὲ τῆς ἀρχῆς αὐτοῖς τελευτώσης, ἔτυχον μὲν ἐκκλησιάζοντες· ἀνὴρ δέ τις οὐ τῶν ἐπιφανῶν, ἱππεὺς Ῥωμαίων, ἀγροῖκος δὲ τῷ βίῳ καὶ ἰδιώτης, Ὀνάτιος Αὐρήλιος, ἀναβὰς ἐπὶ τὸ βῆμα καὶ προελθὼν, ὄψιν διηγεῖτο κατὰ τοὺς ὕπνους αὐτῷ γενομένην. „Ὁ γὰρ Ζεὺς (ἔφη) μοὶ φανεὶς, προσέταξεν εἰς κοινὸν εἰπεῖν, ὅπως μὴ πρότερον περιΐδητε τοὺς ὑπάτους ἀποθέσθαι τὴν ἀρχὴν, ἢ φίλους γενέσθαι.“ Ταῦτα λέγοντος τοῦ ἀνθρώπου, καὶ τοῦ δήμου διαλλάττεσθαι κελεύοντος, ὁ μὲν Πομπήϊος ἡσυχίαν ἦγεν ἑστὼς, ὁ δὲ Κράσσος ἐμβαλὼν τὴν δεξιὰν αὐτῷ πρότερος· „Οὐδὲν (εἶπεν), ὦ ἄνδρες, οἶμαι, πολῖται, ταπεινὸν πράττειν, οὐδ᾽ ἀνάξιον ἐμαυτοῦ, καταρχόμενος εὐνοίας καὶ φιλίας πρὸς Πομπήϊον, ὃν ὑμεῖς μήπω γενειῶντα Μέγαν ἀνηγορεύσατε, καὶ μήπω μετέχοντι βουλῆς ἐψηφίσασθε θρίαμβον.“

XIII. Ἡ μὲν οὖν ὑπατεία τοῦ Κράσσου ταῦτ᾽ ἔσχεν ἄξια μνήμης. Ἡ δὲ τιμητεία παντάπασιν ἀτελὴς καὶ ἄπρακτος αὐτῷ διῆλθεν· οὔτε γὰρ βουλῆς ἐξέτασιν, οὔθ᾽ ἱππέων ἐπίσκεψιν, οὔτ᾽ ἀποτίμησιν πολιτῶν ἐποιήσατο· καίτοι συνάρχοντα Ῥωμαίων ἔχοντι τὸν πρᾳότατον, Λουτάτιον Κάτλον. Ἀλλά φασὶν, ἐπὶ δεινὸν ὁρμήσαντι τῷ Κράσσῳ πολίτευμα

НБ ОНУ імені І.І. Мечникова

καὶ βίαιον, Αἴγυπτον ποιεῖν ὑποτελῆ Ῥωμαίοις, ἀντιβῆναι τὸν Κάτλον ἐῤῥωμένως· ἐκ δὲ τούτου γενομένης διαφορᾶς, ἑκόντας ἀποθέσθαι τὴν ἀρχήν. Ἐν δὲ τοῖς περὶ Κατιλίναν πράγμασι μεγάλοις καὶ μικροῦ δεήσασιν ἀνατρέψαι τὴν Ῥώμην, ἥψατο μέν τις ὑπόνοια τοῦ Κράσσου, καὶ προσῆλθεν ἄνθρωπος ὀνομάζων ἀπὸ τῆς συνωμοσίας· οὐδεὶς δ' ἐπίστευσεν. Ὅμως δ' ὁ Κικέρων ἔν τινι λόγῳ φανερὸς ἦν Κράσσῳ καὶ Καίσαρι τὴν αἰτίαν προστριβόμενος. Ἀλλ' οὗτος μὲν ὁ λόγος ἐξεδόθη μετὰ τὴν ἀμφοῖν τελευτήν. Ἐν δὲ τῷ Περὶ ὑπατείας ὁ Κικέρων νύκτωρ φησὶ τὸν Κράσσον ἀφικέσθαι πρὸς αὐτὸν, ἐπιστολὴν κομίζοντα περὶ τοῦ Κατιλίνα, καὶ ζητουμένην, ὡς ἤδη βεβαιοῦντα τὴν συνωμοσίαν. Ὁ δ' οὖν Κράσσος ἀεὶ μὲν ἐμίσει τὸν Κικέρωνα διὰ τοῦτο· τοῦ δὲ βλάπτειν ἀναφανδὸν ἐμποδὼν εἶχε τὸν υἱόν. Ὁ γὰρ Πόπλιος, ὢν φιλόλογος καὶ φιλομαθὴς, ἐξήρτητο τοῦ Κικέρωνος· ὥστε καὶ συμμεταβαλεῖν αὐτῷ τὴν ἐσθῆτα κρινομένῳ, καὶ τοὺς ἄλλους νέους ταὐτὰ ποιοῦντας παρασχεῖν. Τέλος δὲ τὸν πατέρα πείσας φίλον ἐποίησεν.

XIV. Ὁ δὲ Καῖσαρ, ὡς ἐπανῆλθεν ἀπὸ τῆς ἐπαρχίας, παρασκευαζόμενος ὑπατείαν μετιέναι, καὶ Κράσσον ὁρῶν καὶ Πομπήϊον αὖθις ἐν διαφοραῖς πρὸς ἀλλήλους ὄντας, οὔτε, θατέρου δεηθεὶς ἐβούλετο λαβεῖν ἐχθρὸν τὸν ἕτερον, οὔτε, μηδετέρου συνεργοῦντος, ἤλπιζε κατορθώσειν. Ἔπραττεν οὖν διαλλαγὰς αὐτοῖς, προσκείμενος ἀεὶ, καὶ διδάσκων,

ὡς καταλύοντες ἀλλήλους αὔξουσι Κικέρωνας καὶ Κάτλους καὶ Κάτωνας· ὧν οὐδεὶς λόγος, ἂν ἐκεῖνοι συνενεγκόντες εἰς ταὐτὸ τὰς φιλίας καὶ τὰς ἑταιρείας, ἑνὶ κράτει καὶ μιᾷ γνώμῃ τὴν πόλιν ἄγωσι. Πείσας δὲ καὶ διαλλάξας, συνήγαγε καὶ συνέστησεν ἐκ τῶν τριῶν ἰσχὺν ἄμαχον, ᾗ κατέλυσε Ῥωμαίων τὴν βουλὴν καὶ τὸν δῆμον, οὐκ ἐκείνους δι' ἀλλήλων μείζονας, ἀλλὰ δι' ἐκείνων ἑαυτὸν μέγιστον ἀπεργασάμενος. Εὐθὺς γὰρ αἱρεθεὶς ὑπ' ἀμφοτέρων, ὕπατος ἀπεδείχθη λαμπρῶς. Ὑπατεύοντι δ' αὐτῷ καλῶς ψηφισάμενοι στρατευμάτων ἡγεμονίαν, καὶ Γαλατίαν ἐγχειρίσαντες, ὥσπερ εἰς ἀκρόπολιν κατέστησαν, οἰόμενοι καθ' ἡσυχίαν νεμήσεσθαι τὰ λοιπὰ πρὸς ἀλλήλους, ἐκείνῳ βεβαιοῦντες, ἣν ἔλαχεν, ἀρχήν. Πομπήϊος μὲν οὖν ὑπὸ φιλαρχίας ἀμέτρου ταῦτ' ἔπρασσε· τῶν δὲ Κράσσου νοσημάτων τὸ ἀρχαῖον, ἡ φιλοπλουτία, καινὸν ἔρωτα προσλαβοῦσα καὶ ζῆλον, ἐπὶ ταῖς Καίσαρος ἀριστείαις, τροπαίων καὶ θριάμβων, ὥστε μόνοις ἐλαττοῦσθαι, προὔχοντα τοῖς ἄλλοις ἑαυτόν, οὐκ ἀνῆκεν, οὐδ' ἐλώφησε, πρὶν εἰς ὄλεθρον ἀκλεῆ καὶ δημοσίας συμφορὰς τελευτῆσαι. Καίσαρος γὰρ εἰς Λοῦκαν πόλιν ἐκ Γαλατίας καταβάντος, ἄλλοι τε πολλοὶ Ῥωμαίων ἀφίκοντο, καὶ Πομπήϊος καὶ Κράσσος ἰδίᾳ συγγενόμενοι πρὸς αὐτόν, ἔγνωσαν ἐγκρατέστερον ἔχεσθαι τῶν πραγμάτων, καὶ πᾶσαν ὑφ' ἑαυτοῖς ποιεῖσθαι τὴν ἡγεμονίαν· Καίσαρος μὲν ἐν τοῖς ὅπλοις μένοντος, ἄλλας δ' ἐπαρχίας καὶ στρατεύματα Πομπηΐου καὶ Κράσσου λα-

βόντων. Ἐνταῦθα δ' ὁδὸς ἦν μία, δευτέρας ὑπατείας αἴτησις· ἣν μετιόντων ἐκείνων, ἔδει συμπράττειν Καίσαρα, τοῖς τε φίλοις γράφοντα, καὶ τῶν στρατιωτῶν πέμποντα πολλοὺς ἀρχαιρεσιάσοντας.

XV. Ἐπὶ τούτοις οἱ περὶ Κράσσον εἰς Ῥώμην ἐπανελθόντες, εὐθὺς ἦσαν ὕποπτοι, καὶ πολὺς ἐχώρει διὰ πάντων λόγος, οὐκ ἐπ' ἀγαθῷ γεγονέναι τὴν σύνοδον αὐτῶν. Ἐν δὲ τῇ βουλῇ Μαρκελλίνου καὶ Δομιτίου Πομπήϊον ἐρωτώντων, εἰ μέτεισιν ὑπατείαν, ἀπεκρίνατο, τυχὸν μὲν μετιέναι, τυχὸν δὲ μὴ μετιέναι. Καὶ πάλιν ἐρωτώμενος, ἔφη μετιέναι τοῖς δικαίοις πολίταις, μὴ μετιέναι δὲ τοῖς ἀδίκοις. Τούτου δὲ δόξαντος ὑπερηφάνους ἀποκρίσεις καὶ τετυφωμένας ποιεῖσθαι, μετριώτερον ὁ Κράσσος εἶπεν, εἰ τῇ πόλει συμφέρει μετιέναι τὴν ἀρχήν· εἰ δὲ μή, πεπαύσεσθαι. Διὸ καὶ τινες ἐθάῤῥησαν ὑπατείαν μετελθεῖν· ὧν ἦν καὶ Δομίτιος. Γενομένων δὲ φανερῶν ἐκείνων ἐν ταῖς παραγγελίαις, οἱ μὲν ἄλλοι δείσαντες ἀπέστησαν· Δομίτιον δὲ Κάτων, οἰκεῖον ὄντα καὶ φίλον, ἐθάῤῥυνεν, ἐγκελευόμενος καὶ παρορμῶν ἔχεσθαι τῆς ἐλπίδος, ὡς ὑπερμαχοῦντα τῆς κοινῆς ἐλευθερίας· οὐ γὰρ ὑπατείας Πομπήϊον δεῖσθαι καὶ Κράσσον, ἀλλὰ τυραννίδος, οὐδ' ἀρχῆς αἴτησιν, ἀλλ' ἁρπαγὴν ἐπαρχιῶν καὶ στρατοπέδων εἶναι τὰ πραττόμενα. Ταῦτα δὲ καὶ λέγων οὕτω καὶ φρονῶν ὁ Κάτων, μονονοῦ βίᾳ προῆγεν εἰς ἀγορὰν τὸν Δομίτιον, καὶ συνίσταντο πολλοὶ πρὸς αὐτούς. Καὶ τὸ θαυμάζον οὐκ ὀλίγον ἦν, „Τί δὴ δευτέρας

οὗτοι χρῄζουσιν ὑπατείας; τί δὲ πάλιν μετ' ἄλλήλων; τί δ' οὐ μεθ' ἑτέρων; πολλοὶ δ' εἰσὶν ἄνδρες ἡμῖν, οὐκ ἀνάξιοι δήπου Κράσσῳ καὶ Πομπηΐῳ συνάρχειν." Ἐκ τούτου δείσαντες οἱ περὶ Πομπήϊον, οὐδενὸς ἀπείχοντο τῶν ἀκοσμοτάτων καὶ βιαιοτάτων. Ἀλλὰ πρὸς πᾶσι τοῖς ἄλλοις, λόχον ὑφέντες τῷ Δομιτίῳ, νυκτὸς ἔτι μετὰ τῶν ἄλλων κατερχομένῳ, κτείνουσι μὲν τὸν ἀνέχοντα τὸ φῶς πρὸ αὐτοῦ, συντιτρώσκουσι δὲ πολλούς· ὧν ἦν καὶ Κάτων. Τρεψάμενοι δὲ καὶ κατακλείσαντες εἰς τὴν οἰκίαν ἐκείνους, ἀνηγορεύθησαν ὕπατοι· καὶ μετ' οὐ πολὺν χρόνον αὖθις ὅπλοις περισχόντες τὸ οἴκημα, καὶ τὸν Κάτωνα τῆς ἀγορᾶς ἐκβαλόντες, καί τινας ὑποστάντας ἀποκτείναντες, Καίσαρι μὲν ἄλλην ἐπέδοσαν πενταετίαν τῆς ἀρχῆς, αὑτοῖς δὲ τῶν ἐπαρχιῶν ἐψηφίσαντο Συρίαν, καὶ Ἰβηρίας συναμφοτέρας. Κληρουμένων δὲ, Συρίαν ἔλαχε Κράσσος, τὰ δ' Ἰβηρικὰ Πομπήϊος.

XVI. Ἦν δ' οὐκ ἀκούσιος ὁ κλῆρος ἅπασιν. Οἵ τε γὰρ πολλοὶ Πομπήϊον μὴ μακρὰν εἶναι τῆς πόλεως ἐβούλοντο, καὶ Πομπήϊος ἐρῶν τῆς γυναικὸς, αὐτόθι τὰ πολλὰ διατρίβειν ἔμελλε. Κράσσος δὲ ὑπὸ χαρᾶς εὐθὺς ἐκπεσόντι τῷ κλήρῳ καταφανὴς ἦν οὐδὲν εὐτύχημα λαμπρότερον ἑαυτῷ γεγονέναι τοῦ παρόντος ἡγούμενος· ὡς μόλις ἐν ἀλλοτρίοις καὶ πολλοῖς ἡσυχίαν ἄγειν, πρὸς δὲ τοὺς συνήθεις πολλὰ κενὰ καὶ μειρακιώδη λέγειν, παρ' ἡλικίαν τὴν ἑαυτοῦ καὶ φύσιν, ἥκιστα κομπαστὴς, ἢ σοβαρὸς τῷ

θίῳ γεγονώς. Τότε δ᾽ ἐπηρμένος κομιδῇ καὶ διεφθαρμένος, οὐ Συρίαν, οὐδὲ Πάρθους ὅρον ἐποιεῖτο τῆς εὐπραξίας, ἀλλ᾽ ὡς παιδιὰν ἀποφανῶν τὰ Λουκούλλου πρὸς Τιγράνην, καὶ Πομπηΐου πρὸς Μιθριδάτην, ἄχρι Βακτρίων καὶ Ἰνδῶν καὶ τῆς ἔξω θαλάσσης ἀνῆγεν ἑαυτὸν ταῖς ἐλπίσι. Καίτοι τῷ γραφέντι περὶ τούτων νόμῳ ὁ Παρθικὸς πόλεμος οὐ προσῆν. Ἤιδεσαν δὲ πάντες, ὅτι πρὸς τοῦτον Κράσσος ἐπτόητο· καὶ Καῖσαρ ἐκ Γαλατίας ἔγραψεν αὐτῷ, τὴν ὁρμὴν ἐπαινῶν, καὶ παροξύνων ἐπὶ τὸν πόλεμον. Ἐπεὶ δὲ δημάρχων Ἀτήϊος ἔμελλε πρὸς τὴν ἔξοδον ἐναντιώσεσθαι, καὶ συνίσταντο πολλοὶ, χαλεπαίνοντες, εἴ τις ἀνθρώποις οὐδὲν ἀδικοῦσιν, ἀλλ᾽ ἐνσπόνδοις, πολεμήσων ἄπεισι, δείσας ὁ Κράσσος ἐδεήθη Πομπηΐου παραγενέσθαι, καὶ συμπροπέμψαι. Μέγα γὰρ ἦν ἐκείνου τὸ πρὸς τὸν ὄχλον ἀξίωμα· καὶ τότε παρεσκευασμένους πολλοὺς ἐνίστασθαι καὶ καταβοᾷν, ὁρώμενος πρὸ αὐτοῦ φαιδρῷ βλέμματι καὶ προσώπῳ κατεπραΰνεν ὁ Πομπήϊος, ὥσθ᾽ ὑπείκειν σιωπῇ δι᾽ αὐτῶν προϊοῦσιν. Ὁ δ᾽ Ἀτήϊος ἀπαντήσας, πρῶτον μὲν ἀπὸ φωνῆς ἐκώλυε καὶ διεμαρτύρετο μὴ βαδίζειν, ἔπειτα τὸν ὑπηρέτην ἐκέλευεν ἁψάμενον τοῦ σώματος κατέχειν. Ἄλλων δὲ δημάρχων οὐκ ἐώντων, ὁ μὲν ὑπηρέτης ἀφῆκε τὸν Κράσσον· ὁ δ᾽ Ἀτήϊος προδραμὼν ἐπὶ τὴν πύλην, ἔθηκεν ἐσχαρίδα καιομένην· καὶ τοῦ Κράσσου γενομένου κατ᾽ αὐτὴν, ἐπιθυμιῶν καὶ κατασπένδων, ἀρὰς ἐπηρᾶτο δεινὰς μὲν αὐτὰς καὶ φρικώδεις, δεινοὺς δὲ

τινας θεοὺς καὶ ἀλλοκότους ἐπ᾽ αὐταῖς καλῶν καὶ ὀνομάζων. Ταύτας φασὶ Ῥωμαῖοι τὰς ἀρὰς ἀποθέτους καὶ παλαιὰς τοιαύτην ἔχειν δύναμιν, ὡς περιφυγεῖν μηδένα τῶν ἐνσχεθέντων αὐταῖς· κακῶς δὲ πράσσειν καὶ τὸν χρησάμενον· ὅθεν οὐκ ἐπὶ τοῖς τυχοῦσιν αὐτὰς, οὐδ᾽ ὑπὸ πολλῶν ἀρᾶσθαι. Καὶ τότ᾽ οὖν ἐμέμφοντο τὸν Ἀτήϊον, εἰ δι᾽ ἣν ἐχαλέπαινε τῷ Κράσσῳ πόλιν, εἰς αὐτὴν ἀρὰς ἀφῆκε καὶ δεισιδαιμονίαν τοσαύτην.

XXVII. Ὁ δὲ Κράσσος εἰς Βρεντέσιον ἦλθεν. Ἔτι δ᾽ ἀστάτου οὔσης χειμῶνι τῆς θαλάσσης, οὐ περιέμεινεν, ἀλλ᾽ ἀνήχθη, καὶ συχνὰ τῶν πλοίων ἀπέβαλε. Τὴν δ᾽ ἄλλην ἀναλαβὼν δύναμιν, ἠπείγετο πεζῇ διὰ Γαλατίας. Εὑρὼν δὲ τὸν βασιλέα Δηϊόταρον, πάνυ μὲν ὄντα γηραιὸν ἤδη, κτίζοντα δὲ νέαν πόλιν, ἐπέσκωψεν, εἰπών· „Ὦ βασιλεῦ, δωδεκάτης ὥρας οἰκοδομεῖν ἄρχῃ;“ Γελάσας δ᾽ ὁ Γαλάτης· „Ἀλλ᾽ οὐδ᾽ αὐτὸς (εἶπεν), ὦ αὐτοκράτορ, ὡς ὁρῶ, πρωΐαν ἐπὶ Πάρθους ἐλαύνεις.“ Ἦν δ᾽ ὁ Κράσσος ἑξήκοντα μὲν ἔτη παραλλάττων, πρεσβύτερος δὲ τὴν ὄψιν, ἢ καθ᾽ ἡλικίαν. Ἀφικόμενον δ᾽ αὐτὸν ἐδέξατο τὰ πράγματα τῆς ἐλπίδος ἀξίως τὸ πρῶτον. Καὶ γὰρ ἔζευξε ῥᾳδίως τὸν Εὐφράτην, καὶ διήγαγε τὸν στρατὸν ἀσφαλῶς, καὶ πόλεις πολλὰς ἐν τῇ Μεσοποταμίᾳ κατέσχεν, ἑκουσίως προσθεμένας. Ἐν μιᾷ δ᾽, ἧς Ἀπολλώνιός τις ἐτυράννει, στρατιωτῶν ἑκατὸν ἀναιρεθέντων, ἐπαγαγὼν τὴν δύναμιν αὐτοῖς καὶ κρατήσας, διήρπασε τὰ χρήματα, καὶ τοὺς ἀνθρώ-

НБ ОНУ імені І.І. Мечникова

πους ἀπέδοτο. Ζηνοδοτίαν ἐκάλουν τὴν πόλιν οἱ Ἕλληνες. Ἐπὶ ταύτης ἁλούσης δεξάμενος αὐτοκράτωρ ὑπὸ τῆς στρατιᾶς ἀναγορευθῆναι, πολλὴν ὦφλεν αἰσχύνην καὶ ταπεινὸς ἐφάνη, καὶ περὶ τὰ μείζονα δύσελπις, οὕτω πλεονέκτημα μικρὸν ἠγαπηκώς. Ἐμβαλὼν δὲ φρουρὰς ταῖς προσκεχωρηκυίαις πόλεσιν, ὧν ἀριθμὸς ἦν ἑπτακισχίλιοι πεζοὶ, χίλιοι δ' ἱππεῖς, ἀνεχώρησεν αὐτὸς ἐν Συρίᾳ διαχειμάσων, καὶ δεξόμενος αὐτόθι τὸν υἱὸν ἥκοντα παρὰ Καίσαρος ἐκ Γαλατίας, αὐτόν τε κεκοσμημένον ἀριστείοις, καὶ χιλίους ἱππεῖς ἐπιλέκτους ἄγοντα. Τοῦτο πρῶτον ἁμαρτεῖν ἔδοξεν ὁ Κράσσος, μετά γε τὴν στρατείαν αὐτὴν μέγιστον ἁμάρτημα τῶν γενομένων, ὅτι, πρόσω χωρεῖν δέον, ἔχεσθαί τε Βαβυλῶνος καὶ Σελευκείας, δυσμενῶν ἀεὶ Πάρθοις πόλεων, χρόνον ἔδωκε τοῖς πολεμίοις παρασκευῆς. Ἔπειτα τὰς ἐν Συρίᾳ διατριβὰς ᾐτιῶντο, χρηματιστικὰς μᾶλλον οὔσας, ἢ στρατηγικάς. Οὐ γὰρ ὅπλων ἀριθμὸν ἐξετάζων, οὐδὲ γυμνασιῶν ποιούμενος ἁμίλλας, ἀλλὰ προσόδους πόλεων ἐκλογιζόμενος, καὶ τὰ χρήματα τῆς ἐν Ἱεραπόλει θεοῦ σταθμοῖς καὶ τρυτάναις μεταχειριζόμενος ἐπὶ πολλὰς ἡμέρας, ἐπιγράφων δὲ καὶ δήμοις καὶ δυναστείαις στρατιωτῶν καταλόγους, εἶτ' ἀνιεὶς ἀργύριον διδόντας, ἠδόξει καὶ κατεφρονεῖτο τούτοις. Γίνεται δὲ πρῶτον αὐτῷ σημεῖον ἀπὸ τῆς θεοῦ ταύτης, ἣν οἱ μὲν Ἀφροδίτην, οἱ δὲ Ἥραν, οἱ δὲ τὴν ἀρχὰς καὶ σπέρματα πᾶσιν ἐξ ὑγρῶν παρασχοῦσαν αἰτίαν καὶ φύσιν νομίζουσι, καὶ τὴν πάντων εἰς ἀν-

θρώπους ἀρχὴν ἀγαθῶν καταδείξασαν. Ἐξιόντων γὰρ ἐκ τοῦ ἱεροῦ, πρῶτος ἐσφάλη κατὰ τὰς πύλας ὁ νεανίας Κράσσος, εἶτ' ἐπ' αὐτῷ περιπεσὼν ὁ πρεσβύτερος.

XVIII. Ἤδη δὲ τὰς δυνάμεις ἐκ τῶν χειμαδίων συναθροίζοντος αὐτοῦ, πρέσβεις ἀφίκοντο παρ' Ἀρσάκου βραχύν τινα λόγον κομίζοντες. Ἔφασαν γάρ, εἰ μὲν ὑπὸ Ῥωμαίων ὁ στρατὸς ἀπέσταλται, πόλεμον ἄσπονδον εἶναι καὶ ἀδιάλλακτον· εἰ δὲ τῆς πατρίδος ἀκούσης, ὡς πυνθάνονται, Κράσσος ἰδίων ἕνεκα κερδῶν ὅπλα Πάρθοις ἐπενήνοχε, καὶ χώραν κατείληφε, μετριάζειν Ἀρσάκην· καὶ τὸ μὲν Κράσσου γῆρας οἰκτείρειν, ἀφιέναι δὲ Ῥωμαίοις τοὺς ἄνδρας, οὓς ἔχει φρουρουμένους μᾶλλον, ἢ φρουροῦντας. Πρὸς ταῦτα Κράσσου κομπάσαντος, ὡς ἐν Σελευκείᾳ δώσει τὰς ἀποκρίσεις, γελάσας ὁ πρεσβύτατος τῶν πρέσβεων, Οὐαγίσης, καὶ τῆς χειρὸς ὑπτίας δείξας τὸ μέσον· „Ἐντεῦθεν (εἶπεν), ὦ Κράσσε, φύσονται τρίχες πρότερον, ἢ σὺ ὄψει Σελεύκειαν." Οὗτοι μὲν οὖν ἀπήλαυνον ὡς βασιλέα Ὑρώδην, πολεμητέα φράσοντες. Ἐκ δὲ τῶν πόλεων, ἃς ἐφρούρουν Ῥωμαῖοι τῆς Μεσοποταμίας, παραβόλως τινὲς διεκπεσόντες, ἄξια φροντίδων ἀπήγγελλον, αὐτόπται μὲν γεγονότες τοῦ τε πλήθους τῶν πολεμίων, καὶ τῶν ἀγώνων, οὓς ἠγωνίσαντο προσμαχόμενοι ταῖς πόλεσιν· οἷα δὲ φιλεῖ, πάντα πρὸς τὸ δεινότερον ἐξαγγέλλοντες, ὡς ἄφυκτοι μὲν οἱ ἄνδρες διώκοντες, ἄληπτοι δὲ φεύγοντες, βέλη δὲ καινὰ προθέοντα τῆς

НБ ОНУ імені І.І. Мечникова

ὄψεως, καὶ πρὶν ὀφθῆναι τὸν βάλλοντα, χωροῦντα διὰ τοῦ προστυχόντος· τῶν δὲ καταφράκτων ὅπλα, τὰ μὲν διὰ παντὸς ὠθεῖσθαι, τὰ δὲ πρὸς μηδὲν ἐνδιδόναι πεποιημένα. Ταῦτα τῶν στρατιωτῶν ἀκουόντων, τὸ θράσος ὑπέπιπτε. Πεπεισμένοι γὰρ οὐδὲν Ἀρμενίων διαφέρειν Πάρθους, οὐδὲ Καππαδοκῶν, οὓς ἄγων καὶ φέρων Λούκουλλος ἀπεῖπε, καὶ τοῦ πολέμου τὸ χαλεπώτατον ἡγούμενοι μακρὰν ὁδὸν ἔσεσθαι, καὶ δίωξιν ἀνθρώπων εἰς χεῖρας οὐκ ἀφιξομένων, παρ' ἐλπίδας ἀγῶνα καὶ κίνδυνον μέγαν προσεδόκων· ὥστε καὶ τῶν ἐν τέλει τινὰς οἴεσθαι δεῖν ἐπισχόντα τὸν Κράσσον, αὖθις ὑπὲρ τῶν ὅλων γνώμην προθέσθαι. Τούτων ἦν Κάσσιος ὁ ταμίας. Ἡσυχῇ δὲ παρεδήλουν καὶ οἱ μάντεις, ὡς ἀεὶ πονηρὰ σημεῖα καὶ δυσέκθυτα προφαίνοιτο τῷ Κράσσῳ διὰ τῶν ἱερῶν. Ἀλλ' οὔτε τούτοις προσεῖχεν, οὔτε τοῖς ἕτερόν τι, πλὴν ἐπείγεσθαι, παραινοῦσιν.

XIX. Οὐχ ἥκιστα δ' αὐτὸν Ἀρταβάζης, ὁ Ἀρμενίων βασιλεὺς, ἐπέῤῥωσεν. Ἦλθε γὰρ εἰς τὸ στρατόπεδον μεθ' ἑξακισχιλίων ἱππέων. Καὶ οὗτοι μὲν ἐλέγοντο φύλακες καὶ προπομποὶ βασιλέως. Ἑτέρους δὲ μυρίους ὑπισχνεῖτο καταφράκτους, καὶ τρισμυρίους πεζοὺς οἰκοσίτους. Ἔπειθε δὲ Κράσσον ἐμβαλεῖν δι' Ἀρμενίας εἰς τὴν Παρθίαν· οὐ γὰρ μόνον ἐν ἀφθόνοις διάξειν τὴν στρατιὰν, αὐτοῦ παρέχοντος, ἀλλὰ καὶ πορεύσεσθαι δι' ἀσφαλείας, ὄρη πολλὰ καὶ λόφους συνεχεῖς, καὶ χωρία δύσιππα πρὸς τὴν ἵππον, ᾗ μόνῃ Πάρθων ἀκμὴ, προβαλλόμενον.

Ὁ δὲ τὴν προθυμίαν αὐτοῦ καὶ τὴν λαμπρότητα τῆς βοηθείας οὐ μετρίως ἠγάπησε· βαδιεῖσθαι δ' ἔφη διὰ Μεσοποταμίας, ὅπου πολλοὺς καὶ ἀγαθοὺς Ῥωμαίων ἄνδρας ἀπέλιπεν. Ὁ μὲν οὖν Ἀρμένιος ἐπὶ τούτοις ἀπήλαυνε. Τῷ δὲ Κράσσῳ διαβιβάζοντι τὴν στρατιὰν κατὰ τὸ Ζεῦγμα, πολλαὶ μὲν ὑπερφυεῖς βρονταὶ περιεῤῥήγνυντο, πολλὰ δὲ καὶ ἤστραπτεν ἐναντία τῷ στρατῷ. Πνεῦμα δὲ νέφει καὶ πρηστῆρι μεμιγμένον, ἐρεῖσαν αὐτοῦ κατὰ τῆς σχεδίας, ἀνέῤῥηξε πολλὰ καὶ συνέτριψεν. Ἐβλήθη δὲ καὶ κεραυνοῖς δυσὶν ὁ χῶρος, οὗ στρατοπεδεύειν ἔμελλεν. Ἵππος δὲ τῶν στρατηγικῶν, ἐπιφανῶς κεκοσμημένος, βίᾳ συνεπισπάσας τὸν ἡνίοχον, εἰς τὸ ῥεῖθρον ὑποβρύχιος ἠφανίσθη. Λέγεται δὲ καὶ τῶν ἀετῶν ὁ πρῶτος ἀρθεὶς ἀπὸ ταὐτομάτου μεταστραφῆναι. Πρὸς δὲ τούτοις συνέπεσε μετὰ τὴν διάβασιν μετρουμένοις τὰ ἐπιτήδεια τοῖς στρατιώταις, πρῶτα πάντων δοθῆναι φακοὺς καὶ ἅλας, ἃ νομίζουσι Ῥωμαῖοι πένθιμα, καὶ προτίθενται τοῖς νέκυσιν· αὐτοῦ τε Κράσσου δημηγοροῦντος ἐξέπεσε φωνὴ, δεινῶς συγχέουσα τὸν στρατόν. Ἔφη γὰρ τὸ ζεῦγμα τοῦ ποταμοῦ διαλύειν, ὅπως μηδεὶς αὐτῶν ἐπανέλθῃ. Καὶ δέον, ὡς ᾔσθετο τοῦ ῥήματος τὴν ἀτοπίαν, ἀναλαβεῖν καὶ διασαφῆσαι πρὸς τοὺς ἀποδειλιῶντας τὸ εἰρημένον, ἠμέλησεν ὑπ' αὐθαδείας. Τέλος δὲ τὸν εἰθισμένον καθαρμὸν ἐσφαγιάζετο, καὶ τὰ σπλάγχνα τοῦ μάντεως αὐτῷ προσδόντος, ἐξέβαλε τῶν χειρῶν. Ἐφ' ᾧ καὶ μάλιστα δυσχεραίνοντας ἰδὼν τοὺς παρόντας

НБ ОНУ імені І.І. Мечникова

ἐμειδίασε, καὶ, „Τοιοῦτον (ἔφη), τὸ γῆρας· ἀλλὰ τῶν γε ὅπλων οὐδὲν ἂν ἐκφύγοι τὰς χεῖρας.“

XX. Ἐκ τούτου παρὰ τὸν ποταμὸν ἐξήλαυνεν. ἑπτὰ μὲν ἔχων ὁπλιτῶν τάγματα, καὶ τετρακισχιλίων ὀλίγον ἀποδέοντας ἱππεῖς, ψιλοὺς δὲ τοῖς ἱππεῦσι παραπλησίους. Τῶν δὲ προδρόμων τινὲς ἀπὸ σκοπιᾶς ἐπανελθόντες ἤγγελλον, ἀνθρώπων μὲν ἔρημον εἶναι τὴν χώραν, ἵππων δ᾽ ἐντετυχηκέναι πολλῶν ἴχνεσιν, οἷον ἐκ μεταβολῆς ὀπίσω διωκομένων. Ὅθεν αὐτός τε Κράσσος ἔτι μᾶλλον εὔελπις ἦν, καὶ τοῖς στρατιώταις παντάπασι τῶν Πάρθων παρέστη καταφρονεῖν, ὡς οὐκ ἀφιξομένων εἰς χεῖρας. Ὅμως δ᾽ οἱ περὶ Κάσσιον αὖθις διελέγοντο τῷ Κράσσῳ, καὶ παρῄνουν, μάλιστα μὲν ἐν πόλει τινὶ τῶν φρουρουμένων ἀναλαβεῖν τὴν δύναμιν, ἄχρις οὗ τι πύθηται περὶ τῶν πολεμίων βέβαιον· εἰ δὲ μὴ, χωρεῖν ἐπὶ Σελευκείας παρὰ τὸν ποταμόν· εὐπορίαν γὰρ τὰ σιτηγὰ τῆς ἀγορᾶς παρέξειν, ἅμα συγκαταίροντα πρὸς τὸ στρατόπεδον, καὶ φύλακα τοῦ μὴ κυκλωθῆναι τὸν ποταμὸν σχόντας, ἀπ᾽ ἴσης ἀεὶ πρὸς ἐναντίους μαχεῖσθαι τοὺς πολεμίους.

XXI. Ταῦτα τοῦ Κράσσου διασκοποῦντος ἔτι καὶ βουλευομένου, παραγίνεται φύλαρχος Ἀράβων, Ἀριάμνης ὄνομα, δολερὸς καὶ παλίμβολος ἀνὴρ, καὶ πάντων, ὅσα συνήνεγκεν εἰς ὄλεθρον ἡ τύχη κακὰ, μέγιστον αὐτοῖς καὶ τελεώτατον γενόμενος· τοῦτον δ᾽ ᾔδεσαν ἔνιοι τῶν Πομπηΐῳ συνεστρατευμένων ἀπολαύσαντά τι τῆς ἐκείνου φιλανθρωπίας, καὶ δόξαντα

НБ ОНУ імені І.І. Мечникова

φιλορώμαιον εἶναι. Τότε δ' ὑφεῖτο τῷ Κράσσῳ μετὰ γνώμης τῶν βασιλέως στρατηγῶν, εἰ δύναιτο παραπέμψας αὐτὸν ἀπωτάτω τοῦ ποταμοῦ καὶ τῶν ἠπείρων, εἰς πεδίον ἐκβαλεῖν ἀχανὲς περιελαυνόμενον. Πάντα γὰρ διενοοῦντο μᾶλλον, ἢ κατὰ στόμα συμφέρεσθαι Ῥωμαίοις. Ἐλθὼν οὖν πρὸς τὸν Κράσσον ὁ βάρβαρος (ἦν δὲ καὶ πιθανὸς εἰπεῖν), Πομπήϊον μὲν ὡς εὐεργέτην ἐπῄνει· Κράσσον δὲ τῆς δυνάμεως μακαρίσας, ἐμέμφετο τῆς διατριβῆς, μέλλοντα καὶ παρασκευαζόμενον, ὥσπερ ὅπλων αὐτῷ δεῆσον, οὐ χειρῶν, οὐδὲ ποδῶν τῶν ταχίστων, ἐπ' ἀνθρώπους, οἳ πάλαι ζητοῦσιν, ἁρπάσαντες τὰ τιμιώτατα τῶν χρημάτων καὶ σωμάτων, εἰς Σκύθας, ἢ Ὑρκανοὺς, ἀναπτάσθαι. „Καίτοι μάχεσθαι μέλλοντας (ἔφη) σπεύδειν ἔδει, πρὶν ἅπασαν ἐν ταὐτῷ γενέσθαι τὴν δύναμιν, ἀναθαῤῥήσαντος βασιλέως. Ἐπεὶ νῦν γε Σουρήνας ὑμῖν προβέβληται καὶ Σιλλάκης, ἐφ' αὑτοὺς ἀναδεξάμενοι τὴν δίωξιν· ὁ δ' οὐδαμῆ φανερός ἐστι.“ Ταῦτα δ' ἦν ψευδῆ πάντα. Διχῆ γὰρ εὐθὺς Ὑρώδης διελὼν τὴν δύναμιν, αὐτὸς μὲν Ἀρμενίαν ἐπόρθει, τιννύμενος Ἀρταουάσδην· Σουρήναν δ' ἀφῆκεν ἐπὶ Ῥωμαίους, οὐχ ὑπερφροσύνῃ χρώμενος, ὡς ἔνιοί φασιν. Οὐ γὰρ ἦν ἂν τοῦ αὐτοῦ, Κράσσον μὲν ἀπαξιοῦν ἀνταγωνιστὴν, ἄνδρα Ῥωμαίων πρῶτον, Ἀρταουάσδῃ δὲ προσπολεμεῖν, καὶ τὰς Ἀρμενίων ἐπιόντα χώρας ἐξαιρεῖν· ἀλλὰ καὶ πάνυ δοκεῖ καταδείσας τὸν κίνδυνον, αὐτὸς μὲν ἐφεδρεύειν καὶ καραδοκεῖν τὸ μέλλον· Σουρήναν δὲ προκαθεῖναι

НБ ОНУ імені І.І. Мечникова

πειρασόμενον μάχης, καὶ περιέλξοντα τοὺς πολεμίους. Οὐδὲ γὰρ ἦν τῶν τυχόντων ὁ Σουρήνας, ἀλλὰ πλούτῳ μὲν καὶ γένει καὶ δόξῃ μετὰ βασιλέα δεύτερος, ἀνδρείᾳ δὲ καὶ δεινότητι τῶν κατ' αὐτὸν ἐν Πάρθοις πρῶτος· ἔτι δὲ μεγέθει καὶ κάλλει σώματος, ὡς οὐδεὶς ἕτερος. Ἐξήλαυνε δὲ καθ' ἑαυτὸν ἀεὶ χιλίαις σκευοφορούμενος καμήλοις, καὶ διακοσίας ἀπήνας ἐπήγετο παλλακίδων· ἱππεῖς δὲ κατάφρακτοι χίλιοι, πλείονες δὲ τῶν κούφων παρέπεμπον. Εἶχε δὲ τοὺς σύμπαντας ἱππεῖς, ὁμοῦ πελάτας τε καὶ δούλους, μυρίων οὐκ ἀποδέοντας. Κατὰ γένος μὲν οὖν ἐξ ἀρχῆς ἐκέκτητο βασιλεῖ γινομένῳ Πάρθων ἐπιτιθέναι τὸ διάδημα πρῶτος. Ὑρώδην δὲ τοῦτον αὐτὸν ἐξεληλαμένον εἰς Πάρθους κατήγαγε, καὶ Σελεύκειαν αὐτῷ τὴν μεγάλην εἷλε, πρῶτος ἐπιβὰς τοῦ τείχους καὶ τρεψάμενος ἰδίᾳ χειρὶ τοὺς ἀντιστάντας. Οὔπω δὲ γεγονὼς ἔτη τριάκοντα κατ' ἐκεῖνον τὸν χρόνον, εὐβουλίας καὶ συνέσεως δόξαν εἶχε μεγίστην· οἷς οὐχ ἥκιστα καὶ τὸν Κράσσον ἔσφηλε, διὰ θάρσος καὶ φρόνημα πρῶτον, εἶτα ὑπὸ δέους καὶ συμφορῶν ταῖς ἀπάταις εὐχειρωτατον γενόμενον.

XXII. Τότ' οὖν ὁ βάρβαρος, ὡς ἔπεισεν αὐτὸν, ἀποσπάσας τοῦ ποταμοῦ, διὰ μέσων ἦγε τῶν πεδίων, ὁδὸν ἐπιεικῆ καὶ κούφην τὸ πρῶτον, εἶτα μοχθηρὰν, ἄμμου βαθείας ὑποδεχομένης, καὶ πεδίων ἀδένδρων καὶ ἀνύδρων, καὶ πρὸς οὐδὲν οὐδαμῆ πέρας ἐφικτὸν αἰσθήσει παυομένων· ὥστε μὴ μόνον δίψει καὶ χαλεπότητι τῆς πορείας ἀπαγορεύειν, ἀλλὰ καὶ τὸ

τῆς ὄψεως ἀπαραμύθητον ἀθυμίαν παρεῖχεν, οὐ φυτὸν ὁρῶσιν, οὐ ῥεῖθρον, οὐ προβολὴν ὄρους καθιέντος, οὐ πόαν διαβλαστάνουσαν, ἀλλ' ἀτεχνῶς πελάγιόν τι χεῦμα θινῶν τινων ἐρήμων περιεχόντων τὸν στρατόν. Ἦν μὲν οὖν καὶ ἀπὸ τούτων ὁ δόλος ὕποπτος. Ἐπεὶ δὲ καὶ παρ' Ἀρταουάσδου τοῦ Ἀρμενίου παρῆσαν ἄγγελοι, φράζοντες, ὡς πολλῷ συνέχοιτο πολέμῳ, ῥυέντος ἐπ' αὐτὸν Ὑρώδου, καὶ πέμπειν μὲν ἐκείνῳ βοήθειαν οὐ δύναται, παραινεῖ δὲ Κράσσῳ, μάλιστα μὲν ἐκεῖ τραπέσθαι, καὶ γενόμενον μετ' Ἀρμενίων, ὁμοῦ διαγωνίσασθαι πρὸς τὸν Ὑρώδην· εἰ δὲ μὴ, πορεύεσθαι καὶ στρατοπεδεύειν ἀεὶ τὰ ἱππάσιμα φεύγοντα, καὶ προσχωροῦντα τοῖς ὀρεινοῖς· Κράσσος μὲν, οὐδὲν ἀντιγράψας ὑπ' ὀργῆς καὶ σκαιότητος, ἀπεκρίνατο, νῦν μὲν Ἀρμενίοις μὴ σχολάζειν, αὖθις δ' ἀφίξεσθαι δίκην ἐπιθήσων Ἀρταουάσδῃ τῆς προδοσίας. Οἱ δὲ περὶ Κάσσιον αὖθις ἠγανάκτουν· καὶ Κράσσον μὲν ἀχθόμενον αὐτοῖς ἐπαύσαντο νουθετοῦντες, ἰδίᾳ δὲ τὸν βάρβαρον ἐλοιδόρουν· „Τίς σε δαίμων πονηρὸς, ὦ κάκιστε ἀνθρώπων, ἤγαγε πρὸς ἡμᾶς; τίσι δὲ φαρμάκοις καὶ γοητείαις ἔπεισας Κράσσον, εἰς ἐρημίαν ἀχανῆ καὶ βύθιον ἐκχέαντα τὴν στρατιὰν, ὁδὸν ὁδεύειν Νομάδι λῃστάρχῃ μᾶλλον, ἢ Ῥωμαίων αὐτοκράτορι προσήκουσαν;" Ὁ δὲ βάρβαρος, ἀνὴρ ὢν ποικίλος, ἐκείνους μὲν ὑποπίπτων ἐθάῤῥυνε, καὶ παρεκάλει μικρὸν ἔτι καρτερῆσαι. Τοὺς δὲ στρατιώτας, ἅμα συμπαραθέων καὶ παραβοηθῶν, ἐπέσκωπτε μετὰ γέλωτος· „Ὑμεῖς δὲ

НБ ОНУ імені І.І.Мечникова

διὰ Καμπανίας ὁδεύειν οἴεσθε, κρήνας καὶ νάματα, καὶ σκιὰς, καὶ λουτρὰ δηλαδὴ καὶ πανδοκεῖα ποθοῦντες; οὐ μέμνησθε δὲ τὴν Ἀράβων διεξιόντες καὶ Ἀσσυρίων μεθορίαν;" Οὕτω μὲν ὁ βάρβαρος διεπαιδαγώγησε τοὺς Ῥωμαίους, καὶ, πρὶν ἢ γενέσθαι φανερὸς ἐξαπατῶν, ἀφίππευσεν, οὐ λαθὼν τὸν Κράσσον, ἀλλὰ καὶ τοῦτο πείσας, ὡς ὑπεργάσεται καὶ διαταράξει τὰ τῶν πολεμίων.

XXIII. Λέγεται δὲ, τῆς ἡμέρας ἐκείνης τὸν Κράσσον, οὐχ ὥσπερ ἔθος ἐστὶ Ῥωμαίων στρατηγοῖς, ἐν φοινικίδι προελθεῖν, ἀλλ᾿ ἐν ἱματίῳ μέλανι· καὶ τοῦτο μὲν εὐθὺς ἀλλάξαι προνοήσαντα. τῶν δὲ σημαιῶν ἐνίας μόλις, ὥσπερ πεπηγυίας, πολλὰ παθόντας ἀνελέσθαι τοὺς φέροντας. Ὧν ὁ Κράσσος καταγελῶν ἐπετάχυνε τὴν πορείαν, προσβιαζόμενος ἀκολουθεῖν τὴν φάλαγγα τοῖς ἱππεῦσι· πρίν γε δὴ τῶν ἐπὶ κατασκοπὴν ἀποσταλέντων ὀλίγοι προσπελάσαντες ἀπήγγειλαν ἀπολωλέναι τοὺς ἄλλους ὑπὸ τῶν πολεμίων, αὐτοὺς δὲ μόλις ἐκφυγεῖν. Ἐπιέναι δὲ μαχομένους πλήθει πολλῷ καὶ θάρσει τοὺς ἄνδρας. Ἅπαντες μὲν οὖν ἐθορυβήθησαν, ὁ δὲ Κράσσος ἐξεπλάγη παντάπασι, καὶ διὰ σπουδῆς οὐ πάνυ καθεστηκὼς παρετάττε· πρῶτον μὲν, ὡς οἱ περὶ Κάσσιον ἠξίουν, ἀραιὰν τὴν φάλαγγα τῶν ὁπλιτῶν ἐπὶ πλεῖστον ἀνάγων τοῦ πεδίου, πρὸς τὰς κυκλώσεις, τοὺς δ᾿ ἱππεῖς διανέμων τοῖς κέρασιν. Ἔπειτα μετέδοξε, καὶ συναγαγὼν, ἀμφίστομον ἐποίησε καὶ βαθὺ πλινθίον, εἰς δώδεκα σπείρας προερχομένης τῶν πλευρῶν ἑκάστης.

Παρὰ δὲ σπεῖραν ἴλην ἱππέων ἔταξεν, ὡς μηδὲν ἔχοι μέρος ἐνδεὲς ἱππικῆς βοηθείας, ἀλλὰ πανταχόθεν ὁμαλῶς προσφέροιτο πεφραγμένος. Τῶν δὲ κεράτων τὸ μὲν Κασσίῳ, τὸ δὲ τῷ νέῳ Κράσσῳ παρέδωκεν, αὐτὸς δ' εἰς μέσον κατέστη. Καὶ προάγοντες οὕτως, ἐπὶ ῥεῖθρον ἦλθον, ὃ καλεῖται Βάλισσος, οὐ πολὺ μὲν ἄλλως, οὐδ' ἄφθονον, ἀσμένοις δὲ τότε τοῖς στρατιώταις φανὲν, ἐν αὐχμῷ καὶ καύματι, καὶ παρὰ τὴν ἄλλην ἐπίπονον καὶ ἄνυδρον πορείαν. Οἱ μὲν οὖν πλεῖστοι τῶν ἡγεμόνων ᾤοντο δεῖν ἐνταῦθα καταυλισαμένους καὶ νυκτερεύσαντας, καὶ πυθομένους, ἐφ' ὅσον οἷόν τε, πλῆθος καὶ τάξιν τῶν πολεμίων, ἅμ' ἡμέρᾳ χωρεῖν ἐπ' αὐτούς· Κράσσος δὲ, τῷ παιδὶ καὶ τοῖς περὶ αὐτὸν ἱππεῦσιν ἐγκελευομένοις ἄγειν καὶ συνάπτειν ἐπαρθεὶς, ἐκέλευσεν ἑστῶτας ἐν τάξει φαγεῖν καὶ πιεῖν τοὺς δεομένους. Καὶ πρὶν ἢ τοῦτο διὰ πάντων γενέσθαι καλῶς, ἦγεν οὐ σχέδην, οὐδ' ὡς ἐπὶ μάχην, διαναπαύων, ἀλλ' ὀξείᾳ καὶ συντόνῳ χρώμενος τῇ πορείᾳ, μέχρις οὗ κατώφθησαν οἱ πολέμιοι, παρὰ δόξαν οὔτε πολλοὶ φανέντες, οὔτε σοβαροὶ τοῖς Ῥωμαίοις. Τὸ μὲν γὰρ πλῆθος ὑπέστειλε τοῖς προτάκτοις Σουρήνας, τὴν δὲ λαμπρότητα κατέκρυπτε τῶν ὅπλων, ἱμάτια καὶ διφθέρας προΐσχεσθαι κελεύσας. Ὡς δ' ἐγγὺς ἐγένοντο, καὶ σημεῖον ἤρθη παρὰ τοῦ στρατηγοῦ, πρῶτον μὲν ἐπίμπλατο φθογγῆς βαρείας καὶ βρόμου φρικώδους τὸ πεδίον. Πάρθοι γὰρ οὐ κέρασιν, οὐδὲ σάλπιγξιν ἐποτρύνουσιν ἑαυτοὺς εἰς μάχην, ἀλλὰ ῥόπτρα βυρ-

НБ ОНУ імені І.І. Мечникова

σοπαγῆ καὶ κοῖλα περιτείναντες ἠχείοις χαλκοῖς, ἅμα πολλαχόθεν ἐπιδουποῦσι· τὰ δὲ φθέγγεται βύθιόν τι καὶ δεινὸν, ὠρυγῇ θηριώδει καὶ τραχύτητι βροντῆς μεμιγμένον· εὖ πως συνεωρακότες, ὅτι τῶν αἰσθητηρίων ἀκοὴ ταρακτικώτατόν ἐστι τῆς ψυχῆς, καὶ τὰ περὶ ταύτην πάθη τάχιστα κινεῖ, καὶ μάλιστα ἐξίστησι τὴν διάνοιαν.

XXIV. Ἐκπεπληγμένων δὲ τῶν Ῥωμαίων διὰ τὸν ἦχον, ἐξαίφνης τὰ προκαλύμματα τῶν ὅπλων καταβαλόντες, ὤφθησαν αὐτοί τε φλογοειδεῖς, κράνεσι καὶ θώραξι τοῦ Μαργιανοῦ σιδήρου στίλβοντος ὀξὺ καὶ πυριλαμπές· οἵ θ' ἵπποι καταπεφραγμένοι χαλκοῖς καὶ σιδηροῖς σκεπάσμασιν. Ὁ δὲ Σουρήνας μέγιστος καὶ κάλλιστος αὐτὸς, τῇ δὲ κατ' ἀνδρείαν δόξῃ τὴν θηλύτητα τοῦ κάλλους οὐκ ἐοικὼς, ἀλλὰ Μηδικώτερον ἐσκευασμένος ἐντρίμμασι προσώπου καὶ κόμης διακρίσει, τῶν ἄλλων Πάρθων ἔτι Σκυθικῶς ἐπὶ τὸ φοβερὸν τῶν ἀνασίλλων κομώντων. Καὶ πρῶτον μὲν διενοοῦντο τοῖς κοντοῖς εἰσελαύνοντες ὠθεῖν καὶ βιάζεσθαι τοὺς προτάκτους. Ὡς δ' ἑώρων τό τε βάθος τοῦ συνασπισμοῦ, καὶ τῶν ἀνδρῶν τὸ μόνιμον καὶ παρεστηκὸς, ἀνῆγον ὀπίσω, καὶ σκίδνασθαι δοκοῦντες ἅμα καὶ διαλύειν τὴν τάξιν, ἐλάνθανον ἐν κύκλῳ περιβάλλοντες τὸ πλινθίον αὐτῶν. Κράσσου δὲ τοὺς ψιλοὺς ἐκδραμεῖν κελεύσαντος, οὗτοι μὲν οὐ πολὺ προῆλθον, ἀλλὰ, πολλοῖς τοξεύμασιν ἐντυχόντες, καὶ ταχὺ συμπαρέντες, αὖθις ἐνεδύοντο τοῖς ὁπλίταις, καὶ παρεῖχον ἀκοσμίας ἀρχὴν καὶ

δέους, ὁρῶσι τὸν τόνον τῶν οἰστῶν καὶ τὴν ῥώμην, ὅπλα τε ῥηγνύντων, καὶ διὰ παντὸς φερομένων, ὁμοίως ἀντιτύπου καὶ μαλακοῦ στεγάσματος. Οἱ δὲ Πάρθοι, διαστάντες, ἐκ μήκους ἤρξαντο τοξεύειν ἅμα πανταχόθεν, οὐ τὴν ἀκριβῆ τοξείαν, (ἡ γὰρ συνέχεια καὶ πυκνότης τῶν Ῥωμαίων οὐδὲ τῷ βουλομένῳ διαμαρτάνειν ἀνδρὸς παρεῖχεν) εὐτόνους δὲ τὰς πληγὰς καὶ βιαίους διδόντες ἀπὸ τόξων κραταιῶν καὶ μεγάλων, καὶ τῇ σκολιότητι τῆς καμπῆς ἠναγκασμένον τὸ βέλος ἀποστελλόντων. Ἦν οὖν αὐτόθεν ἤδη μοχθηρὰ τὰ Ῥωμαίων· καὶ γὰρ μένοντες ἐν τάξει, συνετιτρώσκοντο, καὶ χωρεῖν ὁμόσε πειρώμενοι, τοῦ μὲν ποιεῖν ἴσον ἀπεῖχον, ὁμοίως δ' ἔπασχον. Ὑπέφευγον γὰρ ἅμα βάλλοντες οἱ Πάρθοι, καὶ τοῦτο κράτιστα ποιοῦσι μετὰ Σκύθας· καὶ σοφώτατόν ἐστιν, ἀμυνομένους ἔτι σώζεσθαι, καὶ τῆς φυγῆς ἀφαιρεῖν τὸ αἰσχρόν.

XXV. Ἄχρι μὲν οὖν ἤλπιζον αὐτοὺς ἐκχεαμένους τὰ βέλη σχήσεσθαι μάχης, ἢ συνάψειν εἰς χεῖρας, ἐκαρτέρουν. Ὡς δ' ἔγνωσαν, ὅτι πολλαὶ κάμηλοι παρεστᾶσι τοξευμάτων πλήρεις, ἀφ' ὧν περιελαύνοντες οἱ πρῶτοι λαμβάνουσιν, οὐδὲν πέρας ὁρῶν ὁ Κράσσος ἠθύμει· καὶ σκοπεῖν ἐκέλευεν, ἀγγέλους πέμψας πρὸς τὸν υἱόν, ὅπως προσμῖξαι βιάσεται τοῖς ἐναντίοις, πρὶν ἢ κυκλωθῆναι. Μάλιστα γὰρ ἐκείνῳ προσέπιπτον, καὶ περιίππευον τὸ κέρας, ὡς κατὰ νώτου γενησόμενοι. Λαβὼν οὖν ὁ νεανίας ἱππεῖς τε χιλίους τριακοσίους, ὧν οἱ χίλιοι παρὰ Καίσαρος ἦσαν, καὶ

НБ ОНУ імені І.І. Мечникова

τοξότας πεντακοσίους, καὶ τῶν ἔγγιστα θυρεοφόρων ὀκτὼ σπείρας, περιήγαγεν εἰς ἐμβολήν. Τῶν δὲ Πάρθων οἱ περιελαύνοντες, εἴτε τέλμασιν ἐντυχόντες, ὥς ἔνιοί φασιν, εἴτε λαβεῖν τὸν Κράσσον ἀπωτάτω τοῦ πατρὸς στρατηγοῦντες, ὀπίσω στρέψαντες ἐδίωκον. Ὁ δὲ βοήσας, ὡς οὐ μένουσιν οἱ ἄνδρες, ἤλαυνε, καὶ σὺν αὐτῷ Κηνσωρῖνός τε καὶ Μεγάβακχος, ὁ μὲν εὐψυχίᾳ καὶ ῥώμῃ διαφέρων, Κηνσωρῖνος δὲ βουλευτικὸν ἔχων ἀξίωμα, καὶ δεινὸς εἰπεῖν, ἑταῖροι δὲ Κράσσου, καὶ παραπλήσιοι καθ' ἡλικίαν. Ἐπισπομένων δὲ τῶν ἱππέων, οὐδὲ τὸ πεζὸν ἀπελείπετο προθυμίᾳ καὶ χαρᾷ τῆς ἐλπίδος. Νικᾶν γὰρ ᾤοντο καὶ διώκειν, ἄχρις οὐ πολὺ προελθόντες ᾔσθοντο τὴν ἀπάτην, μεταβαλλομένων ἅμα τῶν φεύγειν δοκούντων, καὶ πλειόνων ἄλλων ἐπιφερομένων. Ἐνταῦθα ἔστησαν, οἰόμενοι συνάψειν αὐτοῖς εἰς χεῖρας, ὀλίγοις οὖσι, τοὺς πολεμίους. Οἱ δὲ, τοὺς καταφράκτους προτάξαντες ἐναντίους τοῖς Ῥωμαίοις, τὴν δ' ἄλλην ἵππον ἄτακτον περὶ αὐτοὺς ἐλαύνοντες, καὶ συνταράττοντες τὸ πεδίον, ἀνίστασαν ἐκ βυθοῦ θῖνας ἄμμου, κονιορτὸν ἐπαγούσας ἄπλετον, ὡς μήτε διορᾶν ῥᾳδίως, μήτε φθέγγεσθαι τοὺς Ῥωμαίους, εἱλουμένους δ' ἐν ὀλίγῳ καὶ συμπίπτοντας ἀλλήλοις, βάλλεσθαι καὶ ἀποθνήσκειν οὐ ῥᾴδιον, οὐδ' ὀξὺν θάνατον, ἀλλ' ὑπὸ σπασμοῦ καὶ ὀδύνης δυσανασχετοῦντας, καὶ κυλινδομένους περὶ τοῖς οἰστοῖς, ἐναποθραύειν τοῖς τραύμασι, βίᾳ τε πειρωμένους ἐξέλκειν ἠγκιστρωμένας ἀκίδας, καὶ δεδυκυίας διὰ

φλεβῶν καὶ νεύρων, προσαναῤῥηγνύναι καὶ λυμαίνεσθαι σφᾶς αὐτούς. Οὕτω δὲ πολλῶν ἀποθνησκόντων, ἄπρακτοι καὶ οἱ ζῶντες ἦσαν πρὸς ἀλκήν· καὶ τοῦ Ποπλίου παρακαλοῦντος ἐμβαλεῖν εἰς τὴν κατάφρακτον, ἐπεδείκνυσαν ἑαυτῶν χεῖράς τε θυρεοῖς συμπεπερονημένας, καὶ πόδας διαμπὰξ προσεληλαμένους πρὸς τοὔδαφος, ὥστε καὶ πρὸς φυγὴν ἀμηχάνους εἶναι, καὶ πρὸς ἄμυναν. Αὐτὸς οὖν τοὺς ἱππεῖς παρορμήσας, προσέβαλε μὲν ἐῤῥωμένως, καὶ συνῆψε τοῖς ἀνδράσιν· ἦν δ᾽ ἄνισος ἔν τε ταῖς πληγαῖς, καὶ τῷ φυλάττεσθαι, παίων μὲν ἀσθενέσι καὶ μικροῖς δορατίοις θώρακας ὠμοβύρσους καὶ σιδηροῦς, παιόμενος δὲ κοντοῖς εἰς εὔσταλῆ καὶ γυμνὰ σώματα τῶν Γαλατῶν. Τούτοις γὰρ ἐθάῤῥει μάλιστα, καὶ μετὰ τούτων ἔργα θαυμαστὰ διεπράττετο. Τῶν τε γὰρ κοντῶν ἐπελαμβάνοντο, καὶ συμπλεκόμενοι τοὺς ἄνδρας ἀπὸ τῶν ἵππων ἐώθουν, τῇ βαρύτητι τοῦ ὁπλισμοῦ δυσκινήτους ὄντας. Πολλοὶ δὲ τοὺς ἑαυτῶν ἀπολείποντες ἵππους, καὶ ὑποδυόμενοι τοῖς ἐκείνων, ἔτυπτον εἰς τὰς γαστέρας· οἱ δ᾽ ἀνεσκίρτων ὑπ᾽ ὀδύνης, καὶ συμπατοῦντες ἐν ταὐτῷ τοὺς ἐπιβάτας καὶ τοὺς πολεμίους ἀναπεφυρμένους ἀπέθνησκον. Ἐπίεζε δὲ τοὺς Γαλάτας μάλιστα τό τε θάλπος καὶ τὸ δίψος, ἀμφοτέρων ἀήθεις ὄντας· καὶ τῶν ἵππων ἀπολώλεισαν οἱ πλεῖστοι, πρὸς ἐναντίους ἐλαυνόμενοι τοὺς κοντούς. Ἐβιάσθησαν οὖν ἀναχωρῆσαι πρὸς τοὺς ὁπλίτας, ἔχοντες τὸν Πόπλιον ὑπὸ τραυμάτων ἤδη κακῶς διακείμενον. Ἰδόντες δὲ θῖνα

βουνώδη πλησίον, ἐχώρουν ἐπ' αὐτήν, καὶ τοὺς μὲν ἵππους ἐν μέσῳ κατέδησαν, ἔξωθεν δὲ τοῖς θυρεοῖς συγκλείσαντες, ᾤοντο ῥᾷον ἀμυνεῖσθαι τοὺς βαρβάρους. Ἀπέβαινε δὲ τοὐναντίον. Ἐν μὲν γὰρ τῷ ὁμαλῷ τοῖς ὄπισθεν ἁμωσγέπως παρέχουσιν οἱ πρόταχτοι ῥαστώνην· ἐκεῖ δ' ἄλλον ὑπὲρ ἄλλον διὰ τὴν ἀνωμαλίαν ἀνέχοντος τοῦ χωρίου, καὶ μᾶλλον ἀεὶ τὸν κατόπιν ἐξαίροντος, οὐκ ἐδύναντο διαφεύγειν, ἀλλ' ἐβάλλοντο πάντες ὁμαλῶς, ὀδυρόμενοι τὴν ἀκλεῆ καὶ ἄπρακτον αὐτῶν τελευτήν. Ἦσαν δὲ περὶ τὸν Πόπλιον ἄνδρες Ἕλληνες δύο τῶν αὐτόθι κατοικούντων ἐν Κάῤῥαις, Ἱερώνυμος καὶ Νικόμαχος· οἳ συνέπειθον αὐτὸν ὑπεξελθεῖν μετ' αὐτῶν, καὶ διαφεύγειν εἰς Ἴχνας, πόλιν ᾑρημένην τὰ Ῥωμαίων, καὶ οὐ μακρὰν οὖσαν. Ὁ δὲ φήσας οὐδένα δεινὸν οὕτως ἔσεσθαι θάνατον, ὃν φοβηθεὶς Πόπλιος ἀπολείψει τοὺς ἀπολλυμένους δι' αὐτόν, ἐκείνους μὲν ἐκέλευε σώζεσθαι, καὶ δεξιωσάμενος ἀπέλυσεν· αὐτὸς δέ, τῇ χειρὶ χρήσασθαι μὴ δυνάμενος (διελήλατο γὰρ βέλει), τὸν ὑπασπιστὴν ἐκέλευσε πατάξαι τῷ ξίφει, παρασχὼν τὸ πλευρόν. Ὁμοίως δὲ καὶ Κηνσωρῖνον ἀποθανεῖν λέγουσι. Μεγάβακχος δ' αὑτὸν διεχρήσατο, καὶ τῶν ἄλλων οἱ δοκιμώτατοι. Τοὺς δ' ὑπολελειμμένους ἀναβαίνοντες οἱ Πάρθοι τοῖς κοντοῖς διήλαυνον μαχομένους. Ζῶντας δ' οὐ πλείονας ἁλῶναί φασι πεντακοσίων. Τὰς δὲ κεφαλὰς τῶν περὶ τὸν Πόπλιον ἀποκείραντες, ἤλαυνον εὐθὺς ἐπὶ τὸν Κράσσον.

XXVI. *Εἶχε δὲ τὰ κατ' αὐτὸν οὕτως. Ὡς ἐκέλευσε τὸν υἱὸν ἐμβαλεῖν τοῖς Πάρθοις, καί τις ἤγγειλεν αὐτῷ μακρὰν τροπὴν εἶναι καὶ δίωξιν ἰσχυρὰν τῶν πολεμίων, ἑώρα δὲ καὶ τοῖς καθ' αὑτὸν οὐκέτι προσκειμένους ὁμοίως, (ἐκεῖ γὰρ ἐῤῥύησαν οἱ πλεῖστοι) μικρὸν ἀνεθάῤῥησε, καὶ συναγαγὼν ὑπέστειλεν ἐν χωρίοις προσάντεσι τὸν στρατὸν, αὐτίκα προσδοκῶν τὸν υἱὸν ἐπανήξειν ἀπὸ τῆς διώξεως. Τῶν δὲ πεμφθέντων ὑπὸ τοῦ Ποπλίου πρὸς αὐτὸν, ὡς ἐκινδύνευεν, οἱ μὲν πρῶτοι διεφθάρησαν, ἐμπεσόντες εἰς τοὺς βαρβάρους, οἱ δ' ὕστεροι, μόγις διαφυγόντες, ἀπήγγελλον οἴχεσθαι τὸν Πόπλιον, εἰ μὴ ταχεῖα καὶ πολλὴ βοήθεια παρ' ἐκείνου γένοιτο. Τὸν δὲ Κράσσον ἅμα πολλὰ πάθη κατέσχε· καὶ λογισμῷ μὲν οὐδὲν ἔτι τῶν πραγμάτων ἑώρα, φόβῳ δὲ περὶ τοῦ σύμπαντος ἅμα, καὶ πόθῳ τοῦ παιδὸς ἑλκόμενος βοηθεῖν, τέλος ὥρμησε προάγειν τὴν δύναμιν. Ἐν τούτῳ δ' οἱ πολέμιοι προσεφέροντο, κλαγγῇ καὶ παιᾶνι φοβερώτεροι, καὶ πολλὰ τῶν τυμπάνων αὖθις περιεμυκᾶτο τοὺς Ῥωμαίους, ἑτέρας μάχης ἀρχὴν προσδοκῶντας. Οἱ δὲ τὴν κεφαλὴν τοῦ Ποπλίου κομίζοντες ὑπὲρ αἰχμῆς ἀναπεπηγυῖαν, ἐγγὺς προσελάσαντες ἀνέδειξαν, ὕβρει πυνθανόμενοι τοκέας αὐτοῦ καὶ γένος. Οὐ γὰρ δὴ πρέπειν γε Κράσσου πατρὸς ἀνανδροτάτου καὶ κακίστου γενναῖον οὕτω παῖδα καὶ λαμπρὸν ἀρετῇ γενέσθαι. Τοῦτο τὸ θέαμα Ῥωμαίων ὑπὲρ ἅπαντα τἄλλα δεινὰ τὰς ψυχὰς κατέκλασε καὶ παρέλυσεν, οὐ θυμοῦ πρὸς ἀμυ-*

НБ ОНУ імені І.І. Мечникова

γαν ὥσπερ ἦν εἰκός, ἀλλὰ φρίκης καὶ τρόμου πᾶσιν ἐγγενομένου. Καίτοι τόν γε Κράσσον αὐτοῦ λαμπρότατον ἐν τῷ τότε πάθει φανῆναι λέγουσιν· ἐβόα γὰρ ἐπιὼν τὰς τάξεις· „Ἐμόν, ὦ Ῥωμαῖοι, τοῦτο τὸ πένθος ἴδιόν ἐστιν· ἡ δὲ μεγάλη τύχη καὶ δόξα τῆς Ῥώμης ἐν ὑμῖν ἕστηκε σωζομένοις ἄθραυστος καὶ ἀήττητος. Εἰ δὲ καὶ ἐμοῦ τις οἶκτος ἀφῃρημένου παῖδα πάντων ἄριστον, ἐπιδείξασθε τοῦτ' ὀργῇ πρὸς τοὺς πολεμίους. Ἀφέλεσθε τὴν χαρὰν αὐτῶν· τιμωρήσασθε τὴν ὠμότητα. Μὴ καταπλαγῆτε τοῖς γεγενημένοις, εἰ δεῖ τι καὶ παθεῖν μεγάλων ἐφιεμένους. Οὐδὲ Λούκουλλος Τιγράνην ἀναιμωτὶ καθεῖλεν, οὐδὲ Σκιπίων Ἀντίοχον. Χιλίας δὲ ναῦς οἱ παλαιοὶ περὶ Σικελίαν ἀπώλεσαν, ἐν δ' Ἰταλίᾳ πολλοὺς αὐτοκράτορας καὶ στρατηγούς· ὧν οὐδεὶς προηττηθεὶς ἐκώλυσεν αὐτοὺς κρατῆσαι τῶν νενικηκότων. Οὐ γὰρ εὐτυχίᾳ τὰ Ῥωμαίων, ἀλλὰ τλημοσύνῃ καὶ ἀρετῇ πρὸς τὰ δεινὰ χωρούντων εἰς τοῦτο προῆλθε δυνάμεως.“

XXVII. Τοιαῦτα λέγων καὶ παραθαρσύνων ὁ Κράσσος, οὐ πολλοὺς ἑώρα προθύμως ὑπακούοντας, ἀλλὰ καὶ συναλαλάξαι κελεύσας, ἤλεγξε τοῦ στρατοῦ τὴν κατήφειαν. Οὕτως ἀσθενῆ καὶ ὀλίγην καὶ ἀνώμαλον κραυγὴν ἐποιήσαντο· ἡ δὲ παρὰ τῶν βαρβάρων λαμπρὰ καὶ θρασεῖα κατεῖχε. Τραπομένων δὲ πρὸς ἔργον, οἱ μὲν ἱπποτοξόται πλάγιοι περιελαύνοντες ἐτόξευον· αὐτοὶ δὲ τοῖς κοντοῖς οἱ πρόταχτοι χρώμενοι συνέστελλον εἰς ὀλίγον τοὺς Ῥωμαίους, πλὴν ὅσοι

НБ ОНУ імені І.І. Мечникова

τὸν ἀπὸ τῶν τοξευμάτων φεύγοντες θάνατον, ἀπετόλμων παραβόλως εἰς αὐτοὺς φέρεσθαι, μικρὰ μὲν βλάπτοντες, ὀξέως δὲ θνήσκοντες ὑπὸ τραυμάτων μεγάλων καὶ καιρίων, παχὺν ἐπωθούντων τῷ σιδήρῳ τὸν κοντὸν εἰς τοὺς ἱππεῖς, πολλάκις δὲ καὶ διὰ δυοῖν ἀνδρῶν ὑπὸ ῥύμης διαπορευόμενον. Οὕτω διαγωνισάμενοι, νυκτὸς ἐπιούσης ἀπηλλάγησαν, εἰπόντες, ὅτι Κράσσῳ χαρίζονται νύκτα μίαν ἀποθρηνῆσαι τὸν υἱόν, ἢν ἄρα μὴ, βέλτιον ὑπὲρ ἑαυτοῦ σκεψάμενος, ἐλθεῖν μᾶλλον ἐθελήσῃ πρὸς Ἀρσάκην, ἢ κομισθῆναι. Οὗτοι μὲν οὖν ἐπαυλισάμενοι πλησίον, ἐν ἐλπίσι μεγάλαις ἦσαν· νὺξ δὲ χαλεπὴ τοὺς Ῥωμαίους κατελάμβανεν, οὔτε ταφῆς τῶν κειμένων, οὔτε θεραπείας τῶν τετρωμένων καὶ ψυχορραγούντων ποιουμένους λόγον, ἑκάστου δ᾽ αὐτὸν ἀποκλαίοντος. Ἄφυκτα γὰρ ἐφαίνετο, τήν τε ἡμέραν αὐτοῦ προσμείνασι, καὶ νύκτωρ εἰς πεδίον ἀχανὲς ἐμβαλοῦσιν. Οἵ τε τραυματίαι πολλὴν ἀπορίαν παρεῖχον καὶ κομίζειν, ἐμποδὼν τῷ τάχει τῆς φυγῆς ἐσόμενοι, καὶ ἀπολείπειν, βοῇ τὴν ἀπόδρασιν ἐξαγγελοῦντες. Τοῦ δὲ Κράσσου, καίπερ αἴτιον ἁπάντων νομίζοντες, ἐπόθουν ὅμως τήν τ᾽ ὄψιν καὶ τὴν φωνήν. Ὁ δὲ, καθ᾽ ἑαυτὸν ἐγκεκαλυμμένος, ὑπὸ σκότους ἔκειτο, παράδειγμα τοῖς πολλοῖς τύχης, τοῖς δ᾽ εὖ φρονοῦσιν ἀβουλίας καὶ φιλοτιμίας· δι᾽ ἣν οὐκ ἠγάπα μὴ πρῶτος ὢν καὶ μέγιστος ἐν μυριάσιν ἀνθρώπων τοσαύταις, ἀλλ᾽ ὅτι δυεῖν μόνον ἀνδρῶν ὕστερος ἐκρίνετο, τοῦ παντὸς ἀποδεῖν νομίζων. Τότε δ᾽ οὖν

НБ ОНУ імені І.І. Мечникова

αὐτὸν Ὀκταούϊος ὁ πρεσβευτὴς καὶ Κάσσιος ἀνίστασαν καὶ παρεθάῤῥυνον. Ὡς δ᾽ ἀπηγορεύκει παντάπασιν, αὐτοὶ συγκαλέσαντες ἑκατοντάρχας καὶ λοχαγούς, ὡς ἔδοξε βουλευομένοις μὴ μένειν, ἀνίστασαν τὸν στρατὸν ἄνευ σάλπιγγος, καὶ δι᾽ ἡσυχίας τὸ πρῶτον· εἶτ᾽ αἰσθομένων, ὡς ἀπελείποντο, τῶν ἀδυνάτων, ἀκοσμία δεινὴ καὶ σύγχυσις μετ᾽ οἰμωγῆς καὶ βοῆς τὸ στρατόπεδον κατεῖχεν. Ἐκ τούτου δὲ ταραχὴ καὶ πτοία προϊόντας αὐτοὺς ὑπελάμβανεν, ὡς ἐπιφερομένων τῶν πολεμίων. Καὶ πολλάκις μὲν ἐκτρεπόμενοι, πολλάκις δ᾽ εἰς τάξιν καθιστάμενοι, τῶν δὲ τραυματιῶν ὅσοι παρηκολούθουν, τοὺς μὲν ἀναλαμβάνοντες, τοὺς δ᾽ ἀποτιθέμενοι, διατριβὴν εἶχον, πλὴν τριακοσίων ἱππέων, οὓς Ἰγνάτιος ἔχων προσέμιξε ταῖς Κάῤῥαις περὶ μέσας νύκτας. Φθεγξάμενος δὲ Ῥωμαϊστὶ τοῖς τειχοφυλακοῦσιν, ὡς ὑπήκουσαν, ἐκέλευσε Κοπωνίῳ τῷ ἄρχοντι φράζειν, ὅτι γέγονε μάχη μεγάλη Κράσσῳ πρὸς Πάρθους. Ἄλλο δ᾽ οὐδὲν εἰπών, οὐδ᾽ αὐτὸς ὅστις ἦν, ἀπήλαυνεν ἐπὶ τὸ Ζεῦγμα, καὶ διέσωσε μὲν τοὺς σὺν αὐτῷ, κακῶς δ᾽ ἤκουσε, καταλιπὼν τὸν στρατηγόν. Οὐ μὴν ἀλλ᾽ ὤνησέ γε τὸν Κράσσον ἡ προσριφεῖσα τότε τῷ Κοπωνίῳ φωνή· συμφρονήσας γάρ, ὅτι οὐδὲν χρηστὸν ἀγγέλλειν ἔχοντός ἐστι τὸ τάχος καὶ τὸ συγκεχυμένον τοῦ λόγου, παρήγγειλεν εὐθὺς ἐξοπλίζεσθαι τοὺς στρατιώτας· καὶ ἅμα τῷ πρῶτον αἰσθέσθαι τὸν Κράσσον ἐν ὁδῷ γεγενημένον, ἀπαντήσας, ἀνελάμβανε καὶ παρέπεμπε τὴν στρατιὰν εἰς τὴν πόλιν.

XXVIII. Οἱ δὲ Πάρθοι, νυκτὸς μὲν αἰσθόμενοι τὴν ἀπόδρασιν, οὐκ ἐδίωκον, ἅμα δ' ἡμέρᾳ, τοὺς μὲν ἐν τῷ στρατοπέδῳ καταλειφθέντας, οὐ μείους τετρακισχιλίων, ἐπελθόντες ἀπέσφαξαν· ἐν δὲ τῷ πεδίῳ πλανωμένους πολλοὺς ἱππασάμενοι συνέλαβον. Τέσσαρας δ' ὁμοῦ σπείρας ἔτι νυκτὸς ἀπέῤῥηξε Βαργοντῖνος ὁ πρεσβευτής, ἐκπεσούσας τῆς ὁδοῦ· ἃς περισχόντες ἔν τινι λόφῳ, διέφθειραν ἀμυνομένας, πλὴν ἀνδρῶν εἴκοσι. Τούτους δὲ γυμνοῖς τοῖς ξίφεσιν ὠθουμένους δι' αὐτῶν θαυμάσαντες, εἶξαν, καὶ διέξοδον ἀπιοῦσι βάδην εἰς τὰς Κάῤῥας ἐδίδοσαν. Τῷ δὲ Σουρήνᾳ προσέπεσε ψευδὴς λόγος, ἐκπεφευγέναι Κράσσον μετὰ τῶν ἀρίστων· τὸν δ' εἰς Κάῤῥας συνεῤῥυηκότα ὄχλον εἶναι σύμμικτον οὐκ ἀξίων σπουδῆς ἀνθρώπων. Οἰόμενος οὖν ἀποβεβληκέναι τὸ τῆς νίκης τέλος, ἔτι δ' ἀμφιδοξῶν, καὶ μαθεῖν βουλόμενος τἀληθές, ὅπως ἢ προσμένων ἐνταῦθα πολιορκοίη, ἢ Κράσσον διώκοι, χαίρειν ἐάσας Καῤῥηνούς, ὑποπέμπει τινὰ τῶν παρ' αὐτῷ διγλώττων πρὸς τὰ τείχη, κελεύσας ἱέντα Ῥωμαϊκὴν διάλεκτον καλεῖν Κράσσον αὐτόν, ἢ Κάσσιον, ὡς Σουρήνα διὰ λόγων ἐθέλοντος αὐτοῖς συγγενέσθαι. Ταῦτα τοῦ διγλώττου φράσαντος, ὡς ἀπηγγέλη τοῖς περὶ Κράσσον, ἐδέχοντο τὰς προκλήσεις, καὶ μετὰ μικρὸν ἧκον ἀπὸ τῶν βαρβάρων Ἄραβες, οἳ Κράσσον εὖ καὶ Κάσσιον ἀπ' ὄψεως ἐγνώριζον, ἐν τῷ στρατοπέδῳ πρὸ τῆς μάχης γεγονότες. Οὗτοι τὸν Κάσσιον ἰδόντες ἀπὸ τοῦ τείχους, ἔλεγον, ὅτι Σου-

ρῆνας σπένδεται, καὶ δίδωσιν αὐτοῖς φίλοις οὖσι βασιλέως σώζεσθαι, Μεσοποταμίαν ἐκλιποῦσι· τοῦτο γὰρ ὁρᾷν λυσιτελὲς ἀμφοτέροις πρὸ τῆς ἐσχάτης ἀνάγκης. Δεξαμένου δὲ τοῦ Κασσίου, καὶ τόπον ὁρισθῆναι καὶ χρόνον ἀξιοῦντος, ἐν ᾧ συνίασι Σουρήνας καὶ Κράσσος, οὕτω φάμενοι ποιήσειν, ἀπήλαυνον.

XXIX. Ἡσθεὶς οὖν ὁ Σουρήνας ἐπὶ τῷ τοὺς ἄνδρας ἐνέχεσθαι τῇ πολιορκίᾳ, μεθ' ἡμέραν ἐπῆγε τοὺς Πάρθους, πολλὰ καθυβρίζοντας, καὶ κελεύοντας, εἰ βούλονται τυχεῖν σπονδῶν Ῥωμαῖοι, Κράσσον ἐγχειρίσαι σφίσι καὶ Κάσσιον δεδεμένους. Οἱ δ' ἤχθοντο μὲν ἠπατημένοι, μακρὰς δὲ καὶ κενὰς τὰς ἀπ' Ἀρμενίων ἐλπίδας καταβάλλειν τῷ Κράσσῳ φράσαντες, εἴχοντο δρασμοῦ· καὶ τοῦτ' ἔδει μηδένα πρὸ καιροῦ Καῤῥηνῶν πυθέσθαι. Πυνθάνεται δ' ὁ πάντων ἀπιστότατος Ἀνδρόμαχος, ὑπὸ Κράσσου καὶ τοῦτο πιστευθεὶς, καὶ τῆς ὁδοῦ τὴν ἡγεμονίαν. Οὐδὲν οὖν ἔλαθε τοὺς Πάρθους, ἐξαγγέλλοντες τοῦ Ἀνδρομάχου καθ' ἕκαστον. Ἐπεὶ δὲ νυκτομαχεῖν οὐ πάτριον αὐτοῖς ἐστιν, οὐδὲ ῥᾴδιον, ἐξῄει δὲ νύκτωρ ὁ Κράσσος, ὅπως μὴ καθυστερήσωσι πολὺ τῇ διώξει, στρατηγῶν ὁ Ἀνδρόμαχος, ἄλλοτε ἄλλας ὁδοὺς ὑφηγεῖτο, καὶ τέλος ἐξέτρεψεν εἰς ἕλη βαθέα καὶ χωρία τάφρων μεστὰ τὴν πορείαν, χαλεπὴν καὶ πολυπλανῆ γενομένην τοῖς ἑπομένοις. Ἐγένοντο γάρ τινες, οἳ, μηδὲν ὑγιὲς τὸν Ἀνδρόμαχον στρέφειν καὶ περιελίττειν εἰκάσαντες, οὐκ ἠκολούθησαν. Ἀλ-

λὰ Κάσσιος μὲν ἐπανῆλθεν εἰς Κάῤῥας πάλιν· καὶ τῶν ὁδηγῶν (Ἄραβες δ' ἦσαν) ἀναμένειν κελευόντων, ἄχρις ἂν ἡ σελήνη παραλλάξῃ τὸν σκορπίον, Ἀλλ' ἔγωγ', εἰπών, ἔτι τοῦτον μᾶλλον φοβοῦμαι τὸν τοξότην, ἀπήλαυνεν εἰς Ἀσσυρίαν μεθ' ἱππέων πεντακοσίων. Ἄλλοι δέ, χρησάμενοι πιστοῖς ὁδηγοῖς, ἐλάβοντο χωρίων ὀρεινῶν, ἃ καλεῖται Σίννακα, καὶ κατέστησαν ἐν ἀσφαλεῖ πρὸ ἡμέρας. Οὗτοι περὶ πεντακισχιλίους ἦσαν· ἡγεῖτο δ' αὐτῶν ἀνὴρ ἀγαθὸς Ὀκταούϊος. Τὸν δὲ Κράσσον ἡμέρα κατελάμβανεν ἐπιβουλευόμενον ὑπ' Ἀνδρομάχου περὶ τὰς δυσχωρίας καὶ τὸ ἕλος. Ἦσαν δὲ τέσσαρες σπεῖραι σὺν αὐτῷ θυρεοφόρων, ἱππεῖς δὲ παντελῶς ὀλίγοι, καὶ πέντε ῥαβδοῦχοι· μεθ' ὧν ἐπιπόνως εἰς τὴν ὁδὸν καὶ μόλις καταστάς, ἤδη τῶν πολεμίων ἐπικειμένων, ὅσον δώδεκα σταδίους ἀπολιπὼν τοῦ συμμῖξαι τοῖς περὶ τὸν Ὀκταούϊον, ἐπ' ἄλλον ἀναφεύγει λόφον οὐχ οὕτω μὲν ἄφιππον, οὐδ' ὀχυρόν, ὑποκείμενον δὲ τοῖς Σιννάκοις καὶ συνηρτημένον αὐχένι μακρῷ διὰ μέσου κατατείνοντι τοῦ πεδίου πρὸς τοῦτον. Ἦν οὖν ἐν ὄψει τοῖς περὶ τὸν Ὀκταούϊον ὁ κίνδυνος αὐτοῦ. Καὶ πρῶτος Ὀκταούϊος ἔθει μετ' ὀλίγων ἄνωθεν ἐπιβοηθῶν· εἶτα οἱ λοιποὶ κακίσαντες ἑαυτοὺς ἐπεφέροντο, καὶ προσπεσόντες καὶ ὠσάμενοι τοὺς πολεμίους ἀπὸ τοῦ λόφου, περιέσχον ἐν μέσῳ τὸν Κράσσον, καὶ προὐβάλλοντο τοὺς θυρεούς, μεγαληγοροῦντες, ὡς οὐκ ἔστι Πάρθοις βέλος, ὃ προσπεσεῖται τῷ σώματι τοῦ αὐτοκράτορος, πρὶν ἢ σφᾶς ἅπαντας ὑπὲρ αὐτοῦ μαχομένους ἀποθανεῖν.

НБ ОНУ імені І.І. Мечникова

XXX. Ὁρῶν οὖν ὁ Σουρήνας τούς τε Πάρθους ἀμβλύτερον ἤδη κινδυνεύοντας, καὶ ἣν ἥ τε νὺξ ἐπίσχῃ, καὶ τῶν ὀρῶν οἱ Ῥωμαῖοι λάβωνται, παντάπασιν αὐτοὺς ἐσομένους ἀλήπτους, ἐπῆγε τῷ Κράσσῳ δόλον. Ἀφείθησαν μὲν γὰρ ἔνιοι τῶν αἰχμαλώτων, ἀκηκοότες ἐν τῷ στρατοπέδῳ τῶν βαρβάρων πρὸς ἀλλήλους ἐπίτηδες διαλεγομένων, ὡς οὐ βούλεται βασιλεὺς ἄσπονδον αὐτῷ τὸν πόλεμον εἶναι πρὸς Ῥωμαίους, τὴν δὲ φιλίαν ἀναλαβεῖν χάριτι, Κράσσῳ χρησάμενος φιλανθρώπως. Ἔσχοντο δὴ μάχης οἱ βάρβαροι, Σουρήνας δὲ μετὰ τῶν ἀρίστων προσελάσας ἀτρέμα τῷ λόφῳ, τοῦ μὲν τόξου τὸν τόνον ἀνῆκε, τὴν δὲ δεξιὰν προὔτεινε. Καλεῖ δὲ τὸν Κράσσον ἐπὶ συμβάσεις, εἰπὼν, ὅτι τῆς μὲν ἀνδρείας καὶ δυνάμεως ἄκοντος πεπείραται βασιλέως, πρᾳότητα δ᾽ αὐτοῖς καὶ φιλοφροσύνην ἑκὼν ἐπιδείκνυται, σπενδόμενος ἀπιοῦσι καὶ παρέχων σώζεσθαι. Ταῦτα τοῦ Σουρήνα λέγοντος, οἱ μὲν ἄλλοι προθύμως ἐδέξαντο, καὶ περιχαρεῖς ἦσαν· ὁ δὲ Κράσσος, οὐδὲν ὅ τι μὴ δι᾽ ἀπάτης ἐσφαλμένος ὑπ᾽ αὐτῶν, καὶ τὸ αἰφνίδιον τῆς μεταβολῆς ἄλογον ἡγούμενος, οὐχ ὑπήκουεν, ἀλλ᾽ ἐβουλεύετο. Τῶν δὲ στρατιωτῶν βοώντων καὶ κελευόντων, εἶτα λοιδορούντων καὶ κακιζόντων, ὡς προβάλλοντα μαχουμένους αὐτοὺς, οἷς αὐτὸς ἀνόπλοις εἰς λόγους οὐ θαρρεῖ συνελθεῖν, πρῶτον μὲν ἐπειρᾶτο δεῖσθαι, καὶ λέγειν, ὅτι τὸ λειπόμενον μέρος τῆς ἡμέρας διακαρτερήσαντες ἐν τοῖς ὀρεινοῖς καὶ τραχέσι δύνανται διὰ νυκτὸς ἰέναι,

НБ ОНУ імені І.І. Мечникова

καὶ τὴν ὁδὸν ἐνδείκνυε, καὶ παρεκάλει τὴν ἐλπίδα μὴ προέσθαι τῆς σωτηρίας ἐγγὺς οὔσης. Ὡς δὲ χαλεπαίνοντες αὐτῷ, καὶ τὰ ὅπλα κρούοντες ἠπείλουν, φοβηθεὶς ἐχώρει· καὶ τοσοῦτον εἶπε μεταστραφείς· „Ὀκταούϊε καὶ Πετρώνιε, καὶ ὅσοι πάρεστε Ῥωμαίων ἄρχοντες, ὑμεῖς ὁρᾶτε τῆς ἐμῆς ὁδοῦ τὴν ἀνάγκην, καὶ σύνιστε παρόντες, ὡς αἰσχρὰ πάσχω καὶ βίαια. Τοῖς δ' ἄλλοις ἅπασιν ἀνθρώποις λέγετε σωθέντες, ὡς Κράσσος ἀπατηθεὶς ὑπὸ τῶν πολεμίων, οὐκ ἐκδοθεὶς ὑπὸ τῶν πολιτῶν ἀπώλετο."

XXXI. Οὐ μὴν ἔμειναν οἱ περὶ τὸν Ὀκταούϊον, ἀλλὰ συγκατέβαινον ἀπὸ τοῦ λόφου. Τοὺς δὲ ῥαβδούχους ἑπομένους ὁ Κράσσος ἀπήλλαξε. Πρῶτοι δὲ τῶν βαρβάρων ἀπήντησαν αὐτῷ δύο μιξέλληνες· οἳ καὶ προσεκύνησαν τὸν Κράσσον ἀπὸ τῶν ἵππων ἁλόμενοι, καὶ προσαγορεύσαντες ἑλλάδι φωνῇ, παρεκάλουν προπέμψαι τινὰς, οἷς ἐπιδείξεται Σουρήνας ἑαυτὸν καὶ τοὺς περὶ αὐτὸν ἀνόπλους καὶ ἀσιδήρους προσερχομένους. Ὁ δὲ Κράσσος ἀπεκρίνατο μὲν, ὡς, εἰ καὶ τὸν ἐλάχιστον εἶχε τοῦ ζῆν λόγον, οὐκ ἂν εἰς χεῖρας αὐτοῖς ἦλθε· δύο δὲ Ῥωσκίους ἀδελφοὺς ἔπεμψε πευσομένους, ἐπὶ τίσι καὶ πόσοι συνίασιν. Οὓς εὐθὺς συλλαβὼν ὁ Σουρήνας κατέσχεν, αὐτὸς δὲ μετὰ τῶν ἀρίστων ἱππότης προσῄει, καὶ, Τί τοῦτ', ἔφη, πεζὸς ὁ Ῥωμαίων αὐτοκράτωρ, ἡμεῖς δ' ὀχούμεθα; καὶ προσαγαγεῖν ἐκέλευσεν ἵππον αὐτῷ. Τοῦ δὲ Κράσσου φήσαντος, οὔτ' αὐτὸν ἁμαρτάνειν, οὔτ' ἐκεῖνον, ὡς ἑκατέρῳ πάτριόν ἐστι ποι-

НБ ОНУ імені І.І.Мечникова

ουμένους τὴν σύνοδον· εἶναι μὲν αὐτόθεν ἔφη σπονδὰς καὶ εἰρήνην ὁ Σουρήνας Ὑρώδῃ τε βασιλεῖ καὶ Ῥωμαίοις, δεῖν δὲ γράψασθαι τὰς συνθήκας, ἐπὶ τὸν ποταμὸν προελθόντας. Οὐ γὰρ ὑμεῖς γ', ἔφη, πάνυ μνήμονες ὁμολογιῶν οἱ Ῥωμαῖοι. Καὶ προὔτεινε τὴν δεξιὰν αὐτῷ. Μεταπεμπομένου δὲ ἵππον, οὐδὲν ἔφη δεῖν· βασιλεὺς γάρ σοι δίδωσι τοῦτον. Ἅμα δ' ἵππος τῷ Κράσσῳ παρέστη χρυσοχάλινος, οἵ τ' ἀναβολεῖς αὐτὸν ἀράμενοι περιεβίβασαν, καὶ παρείποντο πληγῇ τὸν ἵππον ἐπιταχύνοντες. Ὀκταούϊος δὲ πρῶτος ἀντιλαμβάνεται τῶν χαλινῶν, καὶ μετ' ἐκεῖνον εἷς τῶν χιλιάρχων, Πετρώνιος, εἶτα οἱ λοιποὶ περιίσταντο, τόν τε ἵππον ἀνακόπτειν πειρώμενοι, καὶ τοὺς πιέζοντας Κράσσον ἐξ ἑκατέρου μέρους ἀφέλκοντες. Ὠθισμοῦ δὲ γενομένου καὶ ταραχῆς, εἶτα πληγῶν, Ὀκταούϊος μὲν, ἀνασπάσας τὸ ξίφος ἑνὸς τῶν βαρβάρων, κτείνει τὸν ἱπποκόμον· ἕτερος δὲ τὸν Ὀκταούϊον, ἐκ τῶν ὄπισθεν πατάξας. Πετρώνιος δὲ ὅπλου μὲν οὐκ εὐπόρησεν, εἰς δὲ τὸν θώρακα πληγεὶς, ἀπεπήδησεν ἀπὸ τοῦ ἵππου ἄτρωτος. Τὸν δὲ Κράσσον ὄνομα Πομαξαίθρης Πάρθος ἀπέκτεινεν. Οἱ δ' οὔ φασιν, ἀλλ' ἕτερον μὲν εἶναι τὸν ἀποκτείναντα· τοῦτον δὲ κειμένου τὴν κεφαλὴν ἀποκόψαι καὶ τὴν δεξιάν. Εἰκάζεται δὲ ταῦτα μᾶλλον, ἢ γινώσκεται. Τῶν γὰρ παρόντων οἱ μὲν ἐκεῖ μαχόμενοι περὶ τὸν Κράσσον ἀνηρέθησαν, οἱ δ' εὐθὺς ἀνεπήδησαν ἐπὶ τὸν λόφον. Ἐπελθόντων δὲ τῶν Πάρθων, καὶ λεγόντων, ὅτι Κράσσος μὲν δίκην ἔδωκε, τοὺς δ' ἄλλους κελεύει Σουρήνας

κατιέναι θαῤῥοῦντας, οἱ μὲν ἐνεχείρισαν αὐτοὺς καταβάντες· οἱ δὲ τῆς νυκτὸς ἐσπάρησαν, καὶ τούτων ὀλίγοι παντάπασι διεσώθησαν. Τοὺς δ᾽ ἄλλους ἐκθηρεύοντες οἱ Ἄραβες συνελάμβανον καὶ διέφθειρον. Λέγονται δ᾽ οἱ πάντες, δισμύριοι μὲν ἀποθανεῖν, μύριοι δὲ ἁλῶναι ζῶντες.

XXXII. Ὁ δὲ Σουρήνας τὴν κεφαλὴν τοῦ Κράσσου καὶ τὴν χεῖρα πρὸς Ὑρώδην ἔπεμψεν εἰς Ἀρμενίαν· αὐτὸς δὲ διαδοὺς λόγον ὑπ᾽ ἀγγέλων εἰς Σελεύκειαν, ὡς ζῶντα Κράσσον ἄγοιτο, παρεσκευάζετο πομπήν τινα γελοίαν, ὕβρει προσαγορεύων θρίαμβον. Ὁ μὲν γὰρ ἐμφερέστατος Κράσσῳ τῶν αἰχμαλώτων, Γάϊος Πακκιανὸς, ἐσθῆτα βαρβαρικὴν γυναικὸς ἐνδὺς, καὶ διδαχθεὶς Κράσσος ὑπακούειν καὶ αὐτοκράτωρ τοῖς καλοῦσιν, ἐφ᾽ ἵππου καθήμενος ἤγετο· πρὸ αὐτοῦ δὲ σαλπιγκταὶ καὶ ῥαβδοῦχοί τινες ὀχούμενοι καμήλοις ἤλαυνον. Ἐξήρτητο δὲ τῶν ῥάβδων βαλάντια, καὶ παρὰ τοὺς πελέκεις πρόσφατοι κεφαλαὶ Ῥωμαίων ἀποτετμημέναι. Κατόπιν δ᾽ εἵποντο Σελευκιάδες ἑταῖραι μουσουργοὶ, πολλὰ βωμολόχα καὶ γελοῖα δι᾽ ᾀσμάτων εἰς θηλύτητα καὶ ἀνανδρίαν τοῦ Κράσσου λέγουσαι. Ταῦτα μὲν οὖν πάντες ἐθεῶντο. Τὴν δὲ γερουσίαν τῶν Σελευκέων ἀθροίσας, εἰσήνεγκεν ἀκόλαστα βιβλία τῶν Ἀριστείδου Μιλησιακῶν, οὔτοι ταῦτά γε καταψευσάμενος. Εὑρέθη γὰρ ἐν τοῖς Ῥουστίου σκευοφόροις, καὶ παρέσχε τῷ Σουρήνᾳ καθυβρίσαι πολλὰ καὶ κατασκῶψαι τοὺς Ῥωμαίους, εἰ μηδὲ πολεμοῦντες ἀπέχεσθαι πραγμάτων καὶ γραμμάτων δύνανται τοιούτων. Τοῖς μέντοι

Σελευκεῦσιν ἐδόκει σοφὸς ἀνὴρ Αἴσωπος εἶναι, τὸν Σουρήναν ὁρῶσι τὴν μὲν τῶν Μιλησιακῶν ἀκολαστημάτων πήραν ἐξηρτημένον πρόσωθεν, ὄπισθεν δὲ Παρθικὴν Σύβαριν ἐφελκόμενον ἐν τοσαύταις παλλακίδων ἁμάξαις, τρόπον τινὰ ταῖς λεγομέναις ἐχίδναις καὶ σκυτάλαις ἀντιμόρφως, τὰ μὲν ἐμφανῆ καὶ πρόσθια μέρη, φοβερὰ καὶ θηριώδη, δόρασι καὶ τόξοις καὶ ἵπποις προβαλλομένην, κατ' οὐρὰν δὲ τῆς φάλαγγος εἰς πόρνας καὶ κρόταλα καὶ ψαλμοὺς καὶ παννυχίδας ἀκολάστους μετὰ γυναικῶν τελευτῶσαν. Ψεκτὸς μὲν γὰρ ὁ Ῥούστιος· ἀναιδεῖς δὲ Πάρθοι τὰ Μιλησιακὰ ψέγοντες, ὧν πολλοὶ βεβασιλεύκασιν ἐκ Μιλησίων καὶ Ἰωνίδων ἑταιρῶν γεγονότες Ἀρσακίδαι.

XXXIII. Τούτων δὲ πραττομένων, Ὑρώδης ἐτύγχανεν ἤδη διηλλαγμένος Ἀρταουάσδῃ τῷ Ἀρμενίῳ, καὶ τὴν ἀδελφὴν αὐτοῦ γυναῖκα Πακόρῳ τῷ παιδὶ καθωμολογημένος· ἑστιάσεις τε καὶ πότοι δι' ἀλλήλων ἦσαν αὐτοῖς, καὶ πολλὰ παρεισήγετο τῶν ἀπὸ τῆς Ἑλλάδος ἀκουσμάτων. Ἦν γὰρ οὔτε φωνῆς, οὔτε γραμμάτων Ὑρώδης Ἑλληνικῶν ἄπειρος. Ὁ δ' Ἀρταουάσδης καὶ τραγῳδίας ἐποίει, καὶ λόγους ἔγραφε καὶ ἱστορίας, ὧν ἔνιαι διασώζονται. Τῆς δὲ κεφαλῆς τοῦ Κράσσου κομισθείσης ἐπὶ θύρας, ἀπηρμέναι μὲν ἦσαν αἱ τράπεζαι· τραγῳδιῶν δὲ ὑποκριτής, Ἰάσων ὄνομα, Τραλλιανός, ᾖδεν Εὐριπίδου Βακχῶν τὰ περὶ τὴν Ἀγαύην. Εὐδοκιμοῦντος δ' αὐτοῦ, Σιλλάκης ἐπιστὰς τῷ ἀνδρῶνι, καὶ προσκυνήσας, προὔβαλεν εἰς μέσον τοῦ Κράσσου τὴν κεφαλήν. Κρότον δὲ τῶν Πάρθων μετὰ κραυγῆς καὶ χαρᾶς ἀραμένων, τὸν μὲν Σιλλάκην

κατέκλιναν οἱ ὑπηρέται, βασιλέως κελεύσαντος· ὁ δ' Ἰάσων, τὰ μὲν τοῦ Πενθέως σκευοποιήματα παρέδωκέ τινι τῶν χορευτῶν, τῆς δὲ τοῦ Κράσσου κεφαλῆς λαβόμενος, καὶ ἀναβακχεύσας, ἐπέραινεν ἐκεῖνα τὰ μέλη μετ' ἐνθουσιασμοῦ καὶ ᾠδῆς·

Φέρομεν ἐξ ὄρεος ἕλικα νεότομον
Ἐπὶ μέλαθρα, μακαρίαν θήραν.

Καὶ ταῦτα μὲν πάντας ἔτερπεν· ᾀδομένων δὲ τῶν ἐφεξῆς ἀμοιβαίων πρὸς τὸν χορόν·

*Α.* Τίς ἐφόνευσεν;
*Β.* Ἐμὸν, ἐμὸν τὸ γέρας·

ἀναπηδήσας ὁ Πομαξαίθρης, (ἐτύγχανε δὲ δειπνῶν) ἀντελαμβάνετο τῆς κεφαλῆς, ὡς ἑαυτῷ ταῦτα λέγειν μᾶλλον, ἢ ἐκείνῳ, προσῆκον. Ἡσθεὶς δ' ὁ βασιλεὺς, τὸν μὲν, οἷς πάτριόν ἐστιν, ἐδωρήσατο, τῷ δ' Ἰάσονι τάλαντον ἔδωκεν. Εἰς τοιοῦτό φασιν ἐξόδιον τὴν Κράσσου στρατηγίαν, ὥσπερ τραγῳδίαν, τελευτῆσαι. Δίκη μέντοι καὶ τῆς ὠμότητος Ὑρώδην, καὶ τῆς ἐπιορκίας Σουρήναν ἀξία μετῆλθε. Σουρήναν μὲν γὰρ οὐ μετὰ πολὺν χρόνον Ὑρώδης φθόνῳ τῆς δόξης ἀπέκτεινεν· Ὑρώδῃ δ' ἀποβαλόντι Πάκορον ὑπὸ Ῥωμαίων μάχῃ κρατηθέντα, καὶ νοσήσαντι νόσον εἰς ὕδρωπα τραπεῖσαν, Φραάτης ὁ υἱὸς ἐπιβουλεύων ἀκόνιτον ἔδωκεν. Ἀναδεξαμένης δὲ τῆς νόσου τὸ φάρμακον ἐφ' ἑαυτὴν, ὥστε συνεκκριθῆναι, καὶ τοῦ σώματος ἐκκουφισθέντος, ἐπὶ τὴν ταχίστην τῶν ὁδῶν ἐλθὼν ὁ Φραάτης, ἀπέπνιξεν αὐτόν.

НБ ОНУ імені І.І.Мечникова

# COMPARATIO NICIAE CVM CRASSO.

Ἐν δὲ τῇ συγκρίσει, πρῶτον ὁ Νικίου πλοῦτος τῷ Κράσσου παραβαλλόμενος, ἀμεμπτοτέραν ἔχει τὴν κτῆσιν. Ἄλλως μὲν γὰρ οὐκ ἄν τις δοκιμάσειε τὴν ἀπὸ μετάλλων ἐργασίαν, ἧς τὰ πλεῖστα περαίνεται διὰ κακούργων, ἢ βαρβάρων, ἐνίων δεδεμένων καὶ φθειρομένων ἐν τόποις ὑπούλοις καὶ νοσεροῖς· παραβαλλομένη δὲ πρὸς τὰ Σύλλα δημιόπρατα, καὶ τὰς περὶ τὸ πῦρ ἐργολαβίας, ἐπιεικεστέρα φανεῖται. Ταύταις γὰρ ὁ Κράσσος ἀναφανδὸν ὡς τῷ γεωργεῖν ἐχρῆτο καὶ τῷ δανείζειν. Ἃ δ' ἔξαρνος ἦν ἐλεγχόμενος, ἐπὶ κέρδεσιν ἐν βουλῇ λέγειν, καὶ τοὺς συμμάχους ἀδικεῖν, καὶ γύναια περιιὼν κολακεύειν, καὶ συνεπικρύπτειν τοὺς πονηρούς, τούτων αἰτίαν οὐδὲ ψευδῆ ποτε Νικίας ἔλαβεν. Ἄλλως δὲ διδοὺς καὶ προϊέμενος ἀργύριον ὑπὸ δειλίας τοῖς συκοφάνταις ἐχλευάζετο, πρᾶγμα ποιῶν, Περικλεῖ μὲν ἴσως καὶ Ἀριστείδῃ μὴ πρέπον, αὐτῷ δ' ἀναγκαῖον, οὐκ εὖ πε-

φυκότι πρὸς τὸ θαῤῥεῖν. Ὧι καὶ Λυκοῦργος ὕστερον ὁ ῥήτωρ ἐπαῤῥησιάσατο πρὸς τὸν δῆμον, αἰτίαν ἔχων ἐξωνήσασθαί τινα τῶν συκοφαντῶν. „Ἥδομαι γὰρ (εἶπεν), εἰ τοσοῦτον χρόνον πεπολιτευμένος παρ' ὑμῖν, διδοὺς πεφώραμαι πρότερον, ἢ λαμβάνων.“ Ἐν δὲ ταῖς δαπάναις πολιτικώτερος μὲν ὁ Νικίας, ἀναθήμασι καὶ γυμνασιαρχίαις καὶ διδασκαλίαις χορῶν φιλοτιμούμενος· ὧν δ' ὁ Κράσσος ἀνάλωσεν, ἑστιάσας ἅμα τοσαύτας μυριάδας ἀνθρώπων, εἶτα θρέψας πάλιν, οὐδὲν ἦν μέρος, ἃ Νικίας ἐκέκτητο σὺν οἷς ἀνάλωσεν· ὥστε θαυμάζειν, εἴ τινα λέληθε τὸ τὴν κακίαν ἀνωμαλίαν εἶναί τινα τρόπου καὶ ἀνομολογίαν, ὁρῶντα τοὺς αἰσχρῶς συλλέγοντας, εἶτα χρηστῶς ἐκχέοντας.

II. Περὶ μὲν οὖν τοῦ πλούτου τοσαῦτα. Τοῖς δὲ πολιτεύμασι, τοῦ μὲν Νικίου πανοῦργον οὐδὲν, οὐδ' ἄδικον, οὐδὲ βίαιον πρόσεστιν, οὐδὲ θρασύτης, ἀλλ' ἐξηπατᾶτο μᾶλλον ὑπ' Ἀλκιβιάδου, καὶ τῷ δήμῳ προσῄει μετ' εὐλαβείας. Τοῦ δὲ Κράσσου πολλὴν μὲν ἐν ταῖς πρὸς ἔχθραν καὶ φιλίαν μεταβολαῖς ἀπιστίαν καὶ ἀνελευθερίαν κατηγοροῦσι· βίᾳ δ' οὐδ' αὐτὸς ἠρνεῖτο τὴν ὑπατείαν μετιέναι, μισθωσάμενος ἄνδρας τοὺς Κάτωνι καὶ Δομιτίῳ τὰς χεῖρας προσοίσοντας. Ἐν δὲ τῇ περὶ τῶν ἐπαρχιῶν ψηφοφορίᾳ τοῦ δήμου πολλοὶ μὲν ἐτρώθησαν, ἔπεσον δὲ τέσσαρες, αὐτὸς δ', ὅπερ ἡμᾶς ἐν τῇ διηγήσει παρελήλυθε, Λεύκιον Ἀννάλιον, ἄνδρα βουλευτὴν, ἀντιλέγοντα πὺξ πατάξας εἰς τὸ πρόσωπον, ἐξέβαλεν

ᾑμαγμένον. Ὡς δὲ περὶ ταῦτα βίαιος ὁ Κράσσος καὶ τυραννικὸς, οὕτως αὖ πάλιν ἐκείνου τὸ ψοφοδεὲς ἐν τῇ πολιτείᾳ καὶ ἄτολμον, καὶ τοῖς κακίστοις ὑφειμένον, τῶν μεγίστων ἐπιλήψεων ἄξιον. Ὁ δὲ Κράσσος, ὑψηλὸς περί γε ταῦτα καὶ μεγαλόφρων, οὐ πρὸς Κλέωνας, οὐδ' Ὑπερβόλους, μὰ Δία, τοῦ ἀγῶνος ὄντος, ἀλλὰ πρὸς τὴν Καίσαρος λαμπρότητα, καὶ τρεῖς τοῦ Πομπηΐου θριάμβους, οὐχ ὑπείξας, ἀλλ' ἀντάρας ἑκατέρῳ τὴν δύναμιν, ἀξιώματι δὲ τῆς τιμητικῆς ἀρχῆς καὶ Πομπήϊον ὑπερβαλόμενος. Δεῖ γὰρ ἐπὶ μεγίστοις οὐ τὸ ἐπίφθονον, ἀλλὰ τὸ λαμπρὸν ἐν πολιτείᾳ λαμβάνειν, μεγέθει δυνάμεως ἐξαμαυροῦντα τὸν φθόνον. Εἰ δ' ἐξ ἅπαντος ἀγαπᾷς ἀσφάλειαν καὶ ἡσυχίαν, καὶ δέδιας Ἀλκιβιάδην μὲν ἐπὶ τοῦ βήματος, ἐν δὲ Πύλῳ Λακεδαιμονίους, Περδίκκαν δ' ἐν Θρᾴκῃ, πολλὴν εὐρυχωρίαν ἡ πόλις ἔχει σχολῆς, ἐκ μέσου γενόμενον καθῆσθαι πλέκοντα τῆς ἀταραξίας σεαυτῷ στέφανον, ὡς ἔνιοι σοφισταὶ λέγουσιν. Ὁ μὲν γὰρ τῆς εἰρήνης ἔρως θεῖος ἦν ὡς ἀληθῶς, καὶ τὸ λῦσαι τὸν πόλεμον Ἑλληνικώτατον πολίτευμα· καὶ τῆς πράξεως ἕνεκα ταύτης οὐκ ἄξιον Νικίᾳ παραβαλεῖν Κράσσον, οὐδ' εἰ τὸ Κάσπιον φέρων πέλαγος, ἢ τὸν Ἰνδὸν ὠκεανὸν τῇ Ῥωμαίων ἡγεμονίᾳ προσώρισε.

III. Πόλει μέντοι χρώμενον ἀρετῆς αἰσθανομένῃ, καὶ κρείττονα ὄντα τῇ δυνάμει, χώραν οὐ δοτέον τοῖς πονηροῖς, οὐδ' ἀρχὴν μὴ ἄρχουσιν, οὐδὲ πίστιν ἀπιστουμένοις. Ὅπερ ἐποίησεν ὁ Νικίας, τὸν



НБ ОНУ імені І.І. Мечникова

Κλέωνα, μηδὲν ὄντα πλέον ἐν τῇ πόλει τῆς ἀπὸ τοῦ βήματος ἀναισχυντίας καὶ κραυγῆς, αὐτὸς εἰς τὸ στρατηγεῖν καταστήσας. Οὐκ ἐπαινῶ μὲν γὰρ ἐγὼ τὸν Κράσσον, ἐν τοῖς Σπαρτακίοις ἐπειχθέντα θᾶσσον ἢ ἀσφαλέστερον διαγωνίσασθαι· καίτοι φιλοτιμίας ἦν τὸ δεῖσαι, μὴ Πομπήϊος ἐλθὼν ἀφέληται τὴν δοξαν αὐτοῦ, καθάπερ ἀφείλετο Μετέλλου Μόμμιος τὴν Κόρινθον. Τὸ δὲ τοῦ Νικίου παντάπασιν ἄτοπον καὶ δεινόν. Οὐ γὰρ ἐλπίδας, οὐδὲ ῥᾳστώνην ἐχούσης ἐξέστη τῷ ἐχθρῷ φιλοτιμίας καὶ ἀρχῆς, ἀλλὰ κίνδυνον ὑφορώμενος ἐν τῇ στρατηγίᾳ μέγαν, ἠγάπησε τὸ καθ᾽ αὐτὸν ἐν ἀσφαλεῖ θέμενος προέσθαι τὸ κοινόν. Καίτοι ὅ γε Θεμιστοκλῆς, ἵνα μὴ φαῦλος ἄνθρωπος, ἐν τοῖς Περσικοῖς, καὶ ἄφρων στατηγήσας ἀπολέσῃ τὴν πόλιν, ἀργυρίῳ της ἀρχῆς ἀπέστησεν αὐτόν· καὶ Κάτων, ὅτε μάλιστα ἑώρα πράγματα καὶ κινδύνους ἔχουσαν, ὑπὲρ τῆς πόλεως τὴν δημαρχίαν μετῆλθεν. Ὁ δ᾽, αὐτὸν ἐπὶ τὴν Μινώαν καὶ Κύθηρα καὶ Μηλίους τοὺς ταλαιπώρους φυλάττων στρατηγὸν, εἰ δὲ δέοι μάχεσθαι Λακεδαιμονίοις, ἀποδυόμενος τὴν χλαμύδα, καὶ τῇ Κλέωνος ἀπειρίᾳ καὶ θρασύτητι ναῦς καὶ ἄνδρας καὶ ὅπλα καὶ στρατηγίαν ἐμπειρίας ἄκρας δεομένην παραδιδοὺς, οὐ τὴν ἑαυτοῦ προΐεται δόξαν, ἀλλὰ τὴν τῆς πατρίδος ἀσφάλειαν καὶ σωτηρίαν. Ὅθεν ὕστερον οὐχ ἑκὼν, οὐδὲ βουλόμενος, Συρακουσίοις πολεμεῖν ἠναγκάζετο, δοκῶν οὐ λογισμῷ τοῦ συμφέροντος, ἀλλὰ ῥᾳστώνῃ καὶ μαλακίᾳ, τὸ παρ᾽ αὐτὸν, ἀποστερεῖν Σικελίας

τὴν πόλιν. Ἐκεῖνο μέντοι μεγάλης ἐπιεικείας σημεῖον, ὅτι δυσχεραίνοντα τὸ πολεμεῖν ἀεὶ, καὶ φεύγοντα τὸ στρατηγεῖν, οὐκ ἐπαύοντο χειροτονοῦντες. ὡς ἐμπειρότατον καὶ βέλτιστον. Τῷ δὲ Κράσσῳ παρὰ πάντα τὸν χρόνον ἐφιεμένῳ στρατηγίας, οὐχ ὑπῆρξε τυχεῖν, πλὴν ἐπὶ τὸν δουλικὸν πόλεμον ἐξ ἀνάγκης, Πομπηΐου καὶ Μετέλλου, καὶ Λουκούλλων ἀμφοτέρων ἀπόντων, καίτοι τότε τιμωμένῳ μάλιστα καὶ δυναμένῳ πλεῖστον. Ἀλλ', ὡς ἔοικε, καὶ τοῖς σπουδάζουσι περὶ αὐτὸν ἐδόκει, κατὰ τὸν κωμικὸν, ἀνὴρ

Ἄριστος εἶναι τἄλλα, πλὴν ἐν ἀσπίδι·

Καὶ τοῦτο Ῥωμαίους οὐδὲν ὤνησεν, ἐκβιασθέντας ὑπὸ τῆς φιλαρχίας αὐτοῦ καὶ φιλοτιμίας. Ἀθηναῖοι μὲν γὰρ ἄκοντα Νικίαν ἐξέπεμψαν ἐπὶ τὸν πόλεμον, Ῥωμαίους δὲ Κράσσος ἄκοντας ἐξήγαγε· καὶ διὰ μὲν τοῦτον ἡ πόλις, ἐκεῖνος δὲ διὰ τὴν πόλιν ἠτύχησεν.

IV. Οὐ μὴν ἀλλὰ μᾶλλόν ἐστιν ἐν τούτοις τὸν Νικίαν ἐπαινεῖν, ἢ ψέγειν τὸν Κράσσον. Ὁ μὲν γὰρ, ἐμπειρίᾳ καὶ λογισμῷ χρησάμενος ἡγεμόνος ἔμφρονος, οὐ συνηπατήθη ταῖς ἐλπίσι τῶν πολιτῶν, ἀλλ' ἀπεῖπε καὶ ἀπέγνω λήψεσθαι Σικελίαν· ὁ δ', ὡς ἐπὶ ῥᾷστον ἔργον τὸν Παρθικὸν ὁρμήσας πόλεμον, ἥμαρτεν. Ὠρέχθη δὲ μεγάλων, Καίσαρος τὰ ἑσπέρια, καὶ Κελτοὺς καὶ Γερμανοὺς καταστρεφομένου, καὶ Βρεττανίαν, αὐτὸς ἐπὶ τὴν ἕω καὶ τὴν Ἰνδικὴν ἐλάσαι θάλασσαν, καὶ προσεργάσασθαι τὴν Ἀσίαν, οἷς Πομπήϊος ἐπῆλθε, καὶ Λούκουλλος ἀν-

τέσχεν, ἄνδρες εὐμενεῖς καὶ πρὸς πάντας ἀγαθοὶ διαμείναντες, προελόμενοι δ' ὅμοια Κράσσῳ, καὶ τὰς αὐτὰς ὑποθέσεις λαβόντες. Ἐπεὶ καὶ Πομπηΐῳ, τῆς ἀρχῆς διδομένης, ἡ σύγκλητος ἠναντιοῦτο, καὶ Καίσαρα μυριάδας τριάκοντα Γερμανῶν τρεψάμενον συνεβούλευεν ὁ Κάτων ἐκδοῦναι τοῖς ἡττημένοις, καὶ τρέψαι τὸ μήνιμα τοῦ παρασπονδήματος εἰς ἐκεῖνον. Ὁ δὲ δῆμος, ἐρρῶσθαι φράσας Κάτωνι, πεντεκαίδεκα ἡμέρας ἔθυεν ἐπινίκια, καὶ περιχαρὴς ἦν. Πῶς οὖν ἂν διετέθη, καὶ πόσας ἔθυσεν ἡμέρας, εἰ Κράσσος ἐκ Βαβυλῶνος ἔγραψε νικῶν, εἶτ' ἐπελθὼν Μηδίαν, Περσίδα, Ὑρκανούς, Σοῦσα, Βάκτρα, Ῥωμαίων ἐπαρχίας ἀπέδειξεν; εἴπερ γὰρ ἀδικεῖν χρή, κατὰ τὸν Εὐριπίδην, ἡσυχίαν ἄγειν μὴ δυναμένους, μηδὲ χρῆσθαι τοῖς παροῦσιν ἀγαθοῖς εἰδότας, οὐ Σκάνδειαν, οὐ Μένδην ἐκκοπτέον, οὐδὲ φεύγοντας Αἰγινήτας, ἀπολελοιπότας τὴν ἑαυτῶν, ὥσπερ ὄρνιθας εἰς ἑτέραν χώραν ἀποκεκρυμμένους, ἐκθηρατέον, ἀλλὰ πολλοῦ τιμητέον τὸ ἀδικεῖν, μὴ ῥᾳδίως, μηδ' ἐπὶ τοῖς τυχοῦσιν, ὥς τι φαῦλον, ἢ μικρὸν, προϊεμένους τὸ δίκαιον. Οἱ δὲ τὴν μὲν τῆς Ἀλεξάνδρου στρατείας ὁρμὴν ἐπαινοῦντες, τὴν δὲ Κράσσου ψέγοντες, οὐκ εὖ τὰ πρῶτα κρίνουσιν ἀπὸ τῶν τελευταίων.

V. Ἐν δὲ ταῖς στρατηγίαις αὐταῖς, Νικίου μὲν οὐκ ὀλίγα γενναῖα. Καὶ γὰρ μάχαις πολλαῖς ἐνίκησε τοὺς πολεμίους, καὶ τοῦ λαβεῖν Συρακούσας ὀλίγον ἐδέησε· καὶ πάντα δι' αὐτὸν οὐκ ἔπταισεν, ἀλλὰ

καὶ νόσον ἄν τις αἰτιάσαιτο, καὶ φθόνον τῶν οἴκοι πολιτῶν. Κράσσος δὲ, διὰ πλῆθος ἁμαρτημάτων, οὐδὲν τῇ τύχῃ χρηστὸν ἀποδείξασθαι παρῆκεν· ὥστε θαυμάζειν αὐτοῦ τὴν ἀβελτερίαν, οὐ τῆς Πάρθων δυνάμεως ἡττηθεῖσαν, ἀλλὰ τῆς Ῥωμαίων εὐτυχίας περιγενομένην. Ἐπεὶ δ' ὁ μὲν, μηδενὸς τῶν ἀπὸ μαντικῆς καταφρονῶν, ὁ δὲ, πάντα ὑπερορῶν, ὁμοίως ἀπώλοντο, χαλεπὴ μὲν ἐν τούτοις ἡ ἀσάφεια καὶ δύσκριτος, ἐπιεικέστερον δὲ αὐτῆς τοῦ παρανόμου καὶ αὐθάδους, τὸ μετὰ δόξης παλαιᾶς καὶ συνήθους δι' εὐλάβειαν ἁμαρτανόμενον. Περὶ μέντοι τὴν τελευτὴν ἀμεμπτότερος ὁ Κράσσος, οὐ παραδοὺς ἑαυτὸν, οὐδὲ δεθεὶς, οὐδὲ φενακισθεὶς, ἀλλ' εἴξας τοῖς φίλοις δεομένοις, καὶ παρασπονδηθεὶς ὑπὸ τῶν πολεμίων. Ὁ δὲ Νικίας, αἰσχρᾶς καὶ ἀκλεοῦς ἐλπίδι σωτηρίας, ὑποπεσὼν τοῖς πολεμίοις, αἰσχίονα ἑαυτῷ τὸν θάνατον ἐποίησεν.

НБ ОНУ імені І.І. Мечникова

# ΣΕΡΤΩΡΙΟΣ.

Θαυμαστὸν μὲν ἴσως οὐκ ἔστιν, ἐν ἀπείρῳ τῷ χρόνῳ τῆς τύχης ἄλλοτε ἄλλως ῥεούσης, ἐπὶ ταὐτὰ συμπτώματα πολλάκις καταφέρεσθαι τὸ αὐτόματον. Εἴτε γὰρ οὐκ ἔστι τῶν ὑποκειμένων ὡρισμένον τὸ πλῆθος, ἄφθονον ἔχει τῆς τῶν ἀποτελουμένων ὁμοιότητος χορηγὸν ἡ τύχη τὴν τῆς ὕλης εὐπορίαν· εἴτ᾽ ἐκ τινων ὡρισμένων ἀριθμῷ ἐμπλέκεται τὰ πράγματα, πολλάκις ἀνάγκη ταὐτὰ γίνεσθαι διὰ τῶν αὐτῶν περαινόμενα. Ἐπεὶ δ᾽ ἀγαπῶντες ἔνιοι τὰ τοιαῦτα, συνάγουσιν ἱστορίᾳ καὶ ἀκοῇ τῶν κατὰ τύχην γεγονότων, ὅσα λογισμοῦ καὶ προνοίας ἔργοις ἔοικεν, (οἷον, ὅτι, δυεῖν Ἄττεων γενομένων ἐμφανῶν, τοῦ μὲν Σύρου, τοῦ δὲ Ἀρκάδος, ἑκάτερος ὑπὸ συὸς ἀπώλετο· δυεῖν δὲ Ἀκταιώνων, ὁ μὲν ὑπὸ τῶν κυνῶν, ὁ δ᾽ ὑπὸ τῶν ἐραστῶν διεσπάσθη· δυεῖν δὲ Σκιπιώνων, ὑφ᾽ οὗ μὲν ἐνικήθησαν Καρχηδόνιοι πρότερον, ὑφ᾽ οὗ δ᾽ ὕστερον ἄρδην ἀνῃρέθησαν· ἑάλω δὲ τὸ Ἴλιον ὑφ᾽ Ἡρακλέους διὰ τὰς Λαομέδοντος ἵππους, καὶ ὑπὸ Ἀγαμέμνονος διὰ τοῦ Δουρείου προσαγορευθέν-

НБ ОНУ імені І І Мечникова

τος ἵππου, τρίτον δ' ὑπὸ Χαριδήμου, τὰς πύλας, ἵππου τινὸς ἐμπεσόντος, ἀποκλεῖσαι ταχὺ τῶν Ἰλιέων μὴ δυνηθέντων· δυεῖν δὲ ὁμωνύμων τοῖς εὐωδεστάτοις φυτοῖς πόλεων, Ἴου καὶ Σμύρνης, τὸν ποιητὴν Ὅμηρον ἐν ᾗ μὲν γενέσθαι λέγουσιν, ἐν ᾗ δὲ ἀποθανεῖν,) φέρε καὶ τοῦτο προσθῶμεν αὐτοῖς, ὅτι καὶ τῶν στρατηγῶν οἱ πολεμικώτατοι, καὶ πλεῖστα δόλῳ κατεργασάμενοι μετὰ δεινότητος, ἑτερόφθαλμοι γεγόνασι, Φίλιππος, Ἀντίγονος, Ἀννίβας, καὶ, περὶ οὗ τόδε τὸ σύγγραμμα, Σερτώριος. Ὃν Φιλίππου μὲν ἄν τις ἀποφαίνοιτο σωφρονέστερον περὶ τὰς γυναῖκας, Ἀντιγόνου δὲ πιστότερον περὶ φίλους, Ἀννίβου δὲ ἡμερώτερον πρὸς πολεμίους, λειπόμενον δὲ συνέσει μὲν οὐδενὸς τούτων, τύχῃ δὲ πάντων. Ὃς πολὺ τῶν ἐμφανῶν πολεμίων χαλεπωτέρᾳ περὶ πάντα χρησάμενος, ἐπανίσωσεν ἑαυτὸν ἐμπειρίᾳ μὲν τῇ Μετέλλου, τόλμῃ δὲ τῇ Πομπηΐου, τύχῃ δὲ τῇ Σύλλα, δυνάμει δὲ τῇ Ῥωμαίων, φυγὰς καὶ βαρβάρων ἔπηλυς ἄρχων ἀντιταξάμενος. Τούτῳ δὴ μάλιστα τῶν Ἑλλήνων τὸν Καρδιανὸν ὁμοιοῦμεν Εὐμένη. Ἀμφότεροι γὰρ ἀρχικοὶ, καὶ σὺν δόλῳ πολεμικοὶ, καὶ τῆς μὲν αὐτῶν ἀποξενωθέντες, ἡγησάμενοι δ' ἀλλοδαπῶν, τύχῃ δὲ χρησάμενοι βιαίῳ καὶ ἀδίκῳ περὶ τὴν τελευτήν. Ἐπιβουλευθέντες γὰρ ἀμφότεροι, μεθ' ὧν τοὺς πολεμίους ἐνίκων, ὑπὸ τούτων ἀνῃρέθησαν.

II. Κοΐντῳ Σερτωρίῳ γένος ἦν οὐκ ἀσημότατον ἐν πόλει Νούσσοις τῆς Σαβίνων· τραφεὶς δὲ κοσμίως ὑπὸ μητρὶ χήρᾳ, πατρὸς ὀρφανὸς, ὑπερφυῶς δοκεῖ

φιλομήτωρ γενέσθαι. Ὄνομα τῆς μητρὸς Ῥέαν λέγουσιν. Ἤσκητο μὲν οὖν καὶ περὶ δίκας ἱκανῶς, καί τινα καὶ δύναμιν ἐν τῇ πόλει μειράκιον ὢν ἀπὸ τοῦ λέγειν ἔσχεν. Αἱ δὲ περὶ τὰ στρατιωτικὰ λαμπρότητες αὐτοῦ καὶ κατορθώσεις ἐνταῦθα τὴν φιλοτιμίαν μετέστησαν.

III. *Πρῶτον μὲν οὖν, Κίμβρων καὶ Τευτόνων ἐμβεβληκότων εἰς Γαλατίαν, στρατευόμενος ὑπὸ Καιπίωνι, κακῶς ἀγωνισαμένων τῶν Ῥωμαίων, καὶ τροπῆς γενομένης, ἀποβεβληκὼς τὸν ἵππον, καὶ κατατετρωμένος τὸ σῶμα, τὸν Ῥοδανὸν διεπέρασεν, αὐτῷ τε τῷ θώρακι καὶ θυρεῷ πρὸς ἐναντίον ῥεῦμα πολὺ νηχόμενος. Οὕτω τὸ σῶμα ῥωμαλέον ἦν αὐτῷ καὶ διάπονον τῇ ἀσκήσει. Δεύτερον δὲ τῶν αὐτῶν ἐπερχομένων μυριάσι πολλαῖς καὶ δειναῖς ἀπειλαῖς, ὥστε καὶ τὸ μένειν ἄνδρα Ῥωμαῖον ἐν τάξει τότε, καὶ τὸ πείθεσθαι τῷ στρατηγῷ, μέγα ἔργον εἶναι, Μάριος μὲν ἡγεῖτο, Σερτώριος δὲ κατασκοπὴν ὑπέστη τῶν πολεμίων. Ἐσθῆτι δὲ Κελτικῇ σκευασάμενος, καὶ τὰ κοινότατα τῆς διαλέκτου πρὸς ἔντευξιν ἐπὶ καιροῦ παραλαβὼν, ἀναμίγνυται τοῖς βαρβάροις· καὶ τὰ μὲν ἰδὼν, τὰ δ' ἀκοῇ πυθόμενος τῶν ἐπειγόντων, ἐπανῆλθε πρὸς Μάριον. Τότε μὲν οὖν ἀριστείων ἔτυχεν· ἐν δὲ τῇ λοιπῇ στρατείᾳ πολλὰ καὶ συνέσεως ἔργα καὶ τόλμης ἀποδειξάμενος, εἰς ὄνομα καὶ πίστιν ὑπὸ τοῦ στρατηγοῦ προήχθη. Μετὰ δὲ τὸν Κίμβρων καὶ Τευτόνων πόλεμον, ἐκπεμφθεὶς ὑπὸ Δειδίῳ στρατηγῷ χιλίαρχος ἐπ' Ἰβηρίας, ἐν τῇ πόλει Κα-*

НБ ОНУ імені І.І. Мечникова

στλωνι παρεχείμαζε τῆς Κελτιβήρων. Ἐπεὶ δὲ τῶν στρατιωτῶν ἐν ἀφθόνοις ὑβριζόντων, καὶ τὰ πολλὰ μεθυόντων, καταφρονήσαντες οἱ βάρβαροι, μετεπέμψαντο νυκτὸς ἐπικουρίαν παρὰ τῶν ἀστυγειτόνων Γυρισοινῶν, καὶ κατ' οἰκίας ἐπιόντες ἔκτεινον αὐτοὺς, ὑπεκδὺς ὁ Σερτώριος μετ' ὀλίγων, καὶ τοὺς ἐκπίπτοντας συναγαγὼν, κύκλῳ τὴν πόλιν περιῆλθε· καὶ καθ' ἃς οἱ βάρβαροι πύλας ἔλαθον παρεισπεσόντες, ἀνεῳγμένας εὑρὼν, οὐ ταὐτὸν ἐκείνοις ἔπαθεν, ἀλλὰ φρουρὰς ἐπιστήσας, καὶ καταλαβὼν πανταχόθεν τὴν πόλιν, ἔκτεινε τοὺς ἐν ἡλικίᾳ πάντας. Ὡς δ' ἀνῃρέθησαν, ἐκέλευσε τοὺς στρατιώτας πάντας τὰ μὲν αὐτῶν ὅπλα καὶ τὴν ἐσθῆτα καταθέσθαι, τοῖς δὲ τῶν βαρβάρων ἐνεσκευασμένους ἕπεσθαι πρὸς τὴν πόλιν ἐκείνην, ἐξ ἧς ἀπεστάλησαν οἱ νύκτωρ ἐπιπεσόντες αὐτοῖς. Ψευσάμενος δὲ τῇ τῶν ὅπλων ὄψει τοὺς βαρβάρους, τάς τε πύλας ἀνεῳγμένας εὗρε, καὶ πλῆθος ἀνθρώπων ἔλαβεν, οἰομένων ἀπαντᾶν εὖ πεπραχόσι φίλοις καὶ πολίταις. Διὸ πλεῖστοι μὲν ὑπὸ τῶν Ῥωμαίων ἐσφάττοντο περὶ τὰς πύλας, οἱ δὲ λοιποὶ παραδόντες ἑαυτοὺς ἐπράθησαν.

IV. Ἐκ τούτου Σερτώριος ἐν τῇ Ἰβηρίᾳ διεβοήθη· καὶ ὅτε πρῶτον ἐπανῆκεν εἰς Ῥώμην, ταμίας ἀποδείκνυται τῆς περὶ Πάδον Γαλατίας, ἐν δέοντι. Τοῦ γὰρ Μαρσικοῦ πολέμου συνισταμένου, στρατιώτας τε προσταχθὲν αὐτῷ καταλέγειν, καὶ ὅπλα ποιεῖσθαι, σπουδὴν καὶ τάχος προσθεὶς τῷ ἔργῳ, παρὰ τὴν τῶν ἄλλων νέων βραδυτῆτα καὶ μαλακίαν,

ἀνδρὸς ἐμπράκτως βιωσομένου δόξαν ἔσχεν. Οὐ μὴν ὑφήκατο τῆς στρατιωτικῆς τόλμης, εἰς ἀξίωμα προεληλυθὼς ἡγεμόνος, ἀλλὰ καὶ χειρὸς ἐπιδεικνύμενος ἔργα θαυμαστὰ, καὶ τὸ σῶμα τοῖς ἀγῶσιν ἀφειδῶς ἐπιδιδοὺς, τῶν ὄψεων ἀπέβαλε τὴν ἑτέραν ἐκκοπεῖσαν. Ἐπὶ τούτῳ δὲ καὶ καλλωπιζόμενος ἀεὶ διετέλει· τοὺς μὲν γὰρ ἄλλους οὐκ ἀεὶ τὰ μαρτύρια τῶν ἀριστείων περιφέρειν, ἀλλὰ καὶ ἀποτίθεσθαι, στρεπτὰ καὶ δόρατα καὶ στεφάνους· αὐτῷ δὲ τῆς ἀνδραγαθίας παραμένειν τὰ γνωρίσματα, τοὺς αὐτοὺς ἔχοντι τῆς ἀρετῆς ἅμα καὶ τῆς συμφορᾶς θεατάς. Ἀπέδωκε δὲ καὶ ὁ δῆμος αὐτῷ τιμὴν πρέπουσαν. Εἰσελθόντα γὰρ εἰς θέατρον ἐξεδέξατό τε κρότῳ καὶ κατευφήμησεν· ὧν οὐδὲ τοῖς πάνυ προήκουσιν ἡλικίᾳ τε καὶ δόξῃ τυχεῖν ἦν ῥᾴδιον. Δημαρχίαν μέντοι μετιὼν, Σύλλα καταστασιάσαντος αὐτὸν, ἐξέπεσε· διὸ καὶ δοκεῖ γενέσθαι μισοσύλλας. Ἐπεὶ δὲ Μάριος μὲν ὑπὸ Σύλλα κρατηθεὶς ἔφευγε, Σύλλας δὲ Μιθριδάτῃ πολεμήσων ἀπῆρε, τῶν δὲ ὑπάτων Ὀκτάβιος μὲν ἐπὶ τῆς Σύλλα προαιρέσεως ἔμενε, Κίννας δὲ νεωτερίζων ὑποφερομένην ἀνεκαλεῖτο τὴν Μαρίου στάσιν· τούτῳ προσένειμεν αὑτὸν ὁ Σερτώριος, ἄλλως τε καὶ τὸν Ὀκτάβιον ὁρῶν αὐτὸν μὲν ἀμβλύτερον ὄντα, τοῖς δὲ Μαρίου φίλοις ἀπιστοῦντα. Γενομένης δὲ τοῖς ὑπάτοις ἐν ἀγορᾷ μάχης μεγάλης, Ὀκτάβιος μὲν ἐκράτησε, Κίννας δὲ καὶ Σερτώριος οὐ πολλῷ ἐλάττους τῶν μυρίων ἀποβαλόντες ἔφυγον· καὶ τῶν περὶ τὴν Ἰταλίαν ἔτι διεσπαρμένων στρατοπέδων προσαγό-

НБ ОНУ імені І.І. Мечникова

μενοι τὰ πλεῖστα πειθοῖ, ταχὺ κατέστησαν ἀξιόμαχοι τοῖς περὶ τὸν Ὀκτάβιον.

V. Μαρίου δὲ καταπλεύσαντος ἐκ Λιβύης, καὶ τῷ Κίννᾳ προστιθέντος ἑαυτὸν, ὡς ἰδιώτην ὑπάτῳ, τοῖς μὲν ἄλλοις ἐδόκει δέχεσθαι, Σερτώριος δ' ἀπηγόρευεν· εἴτε τὸν Κίνναν ἧττον οἰόμενος ἑαυτῷ προσέξειν, ἀνδρὸς ἡγεμονικωτέρου παρόντος, εἴτε τὴν βαρύτητα τοῦ Μαρίου δεδοικὼς, μὴ πάντα τὰ πράγματα συγχέῃ, θυμῷ μέτρον οὐκ ἔχοντι πέρα δίκης ἐν τῷ κρατεῖν προερχόμενος. Ἔλεγεν οὖν μικρὸν εἶναι τὸ ὑπολειπόμενον ἔργον αὐτοῖς ἤδη κρατοῦσι· δεξαμένων δὲ τὸν Μάριον, τὸ σύμπαν οἴσεσθαι τῆς δόξης ἐκεῖνον καὶ τῆς δυνάμεως, χαλεπὸν ὄντα πρὸς κοινωνίαν ἀρχῆς καὶ ἄπιστον. Εἰπόντος δὲ τοῦ Κίννα, ταῦτα μὲν ὀρθῶς ὑπολογίζεσθαι τὸν Σερτώριον, αἰδεῖσθαι δὲ καὶ διαπορεῖν, ὅπως ἀπώσεται τὸν Μάριον, αὐτὸς ἐπὶ κοινωνίᾳ πραγμάτων κεκληκὼς, ὑπολαβὼν ὁ Σερτώριος εἶπεν· „Ἀλλ' ἐγὼ μὲν αὐτὸν ἀφ' ἑαυτοῦ Μάριον ἥκειν νομίζων εἰς Ἰταλίαν, τὸ συμφέρον ἐσκόπουν· σοὶ δὲ τὴν ἀρχὴν οὐδὲ βουλεύεσθαι καλῶς εἶχεν, ἥκοντος, ὃν αὐτὸς ἐλθεῖν ἠξίωσας, ἀλλὰ χρῆσθαι καὶ δέχεσθαι, τῆς πίστεως μηδενὶ λογισμῷ χώραν διδούσης." Οὕτως μεταπέμπεται τὸν Μάριον Κίννας· καὶ τριχῆ τῆς δυνάμεως διανεμηθείσης, ἦρχον οἱ τρεῖς. Διαπολεμηθέντος δὲ τοῦ πολέμου, καὶ τῶν περὶ τὸν Κίνναν καὶ Μάριον ἐμφορουμένων ὕβρεως τε καὶ πικρίας ἁπάσης, ὥστε χρυσὸν ἀποδεῖξαι Ῥωμαίοις τὰ τοῦ πολέμου κακὰ, Σερτώριος

НБ ОНУ імені І.І. Мечникова

λέγεται μόνος οὔτ' ἀποκτεῖναί τινα πρὸς ὀργὴν, οὔτ' ἐνυβρίσαι κρατῶν, ἀλλὰ καὶ τῷ Μαρίῳ δυσχεραίνειν, καὶ τὸν Κίνναν ἐντυγχάνων ἰδίᾳ καὶ δεόμενος μετριώτερον ποιεῖν. Τέλος δὲ τῶν δούλων, οὓς Μάριος, συμμάχους μὲν ἐν τῷ πολέμῳ, δορυφόρους δὲ τῆς τυραννίδος ἔχων, ἰσχυροὺς καὶ πλουσίους ἐποίησε, τὰ μὲν ἐκείνου διδόντος καὶ κελεύοντος, τὰ δὲ καὶ βίᾳ παρανομούντων εἰς τοὺς δεσπότας, σφαττόντων μὲν αὐτοὺς, ταῖς δὲ δεσποίναις πλησιαζόντων, καὶ βιαζομένων τοὺς παῖδας, οὐκ ἀνασχετὰ ποιούμενος ὁ Σερτώριος, ἅπαντας ἐν ταὐτῷ στρατοπεδεύοντας κατηκόντισεν, οὐκ ἐλάττους τετρακισχιλίων ὄντας.

VI. Ἐπεὶ δὲ Μάριος μὲν ἐτελεύτησε, καὶ Κίννας ἀνηρέθη μικρὸν ὕστερον, ὁ δὲ νεανίας Μάριος, ἄκοντος αὐτοῦ, παρὰ τοὺς νόμους ὑπατείαν ἔλαβε, Κάρβωνες δὲ καὶ Νωρβανοὶ καὶ Σκιπίωνες ἐπιόντι Σύλλᾳ κακῶς ἐπολέμουν· καὶ τὰ μὲν ἀνανδρίᾳ καὶ μαλακίᾳ τῶν στρατηγῶν ἐφθείρετο, τὰ δ' οἱ προδιδόντες ἀπώλλυσαν· ἔργον δ' οὐδὲν ἦν αὐτοῦ παρόντος τοῖς πράγμασι μοχθηρῶς ὑποφερομένοις, διὰ τὸ χεῖρον φρονεῖν τοὺς μᾶλλον δυναμένους· τέλος δὲ Σύλλας, Σκιπίωνι παραστρατοπεδεύσας, καὶ φιλοφρονούμενος, ὡς εἰρήνης ἐσομένης, διέφθειρε τὸ στράτευμα, καὶ ταῦτα προλέγων Σκιπίωνι καὶ διδάσκων Σερτώριος οὐκ ἔπειθε· παντάπασιν ἀπογνοὺς τὴν πόλιν, ὥρμησεν εἰς Ἰβηρίαν, ὡς, εἰ φθάσει τὴν ἐκεῖ κρατυνάμενος ἀρχὴν, καταφυγὴ τοῖς πταίουσιν ἐνταῦθα τῶν φίλων ἐσόμενος. Χειμῶσι δὲ χαλεποῖς χρησάμε-

НБ ОНУ імені І Мечникова

νος ἐν χωρίοις ὀρεινοῖς, ὑπὸ βαρβάρων ἐπράττετο τέλη καὶ μισθοὺς τοῦ παρελθεῖν τὴν ὁδόν. Ἀγανακτούντων δὲ τῶν σὺν αὐτῷ, καὶ δεινολογουμένων, εἰ Ῥωμαίων ἀνθύπατος τέλη καταβαλεῖ βαρβάροις ὀλέθροις, μικρὰ φροντίσας τοῦ δοκοῦντος αἰσχροῦ, καὶ καιρὸν ὠνεῖσθαι φήσας, οὗ σπανιώτερον οὐδὲν ἀνδρὶ μεγάλων ἐφιεμένῳ, τοὺς μὲν βαρβάρους ἐθεράπευσε χρήμασι, τὴν δ' Ἰβηρίαν ἐπειχθεὶς κατέσχε. Παραλαβὼν δ' ἔθνη πλήθει μὲν καὶ ἡλικίᾳ ἀκμάζοντα, πλεονεξίᾳ δὲ καὶ ὕβρει τῶν πεμπομένων ἑκάστοτε στρατηγῶν πρὸς ὅλην κακῶς διακείμενα τὴν ἡγεμονίαν, ἀνελάμβανεν ὁμιλίᾳ τε τοὺς δυνατούς, καὶ φόρων ἀνέσει τοὺς πολλούς· μάλιστα δὲ τῶν ἐπισταθμιῶν ἀπαλλάξας ἠγαπήθη. Τοὺς γὰρ στρατιώτας ἠνάγκαζεν ἐν τοῖς προαστείοις χειμάδια πήγνυσθαι, πρῶτος αὐτὸς οὕτω κατασκηνῶν. Οὐ μὴν ἐπὶ τῇ τῶν βαρβάρων εὐνοίᾳ τὸ πᾶν ἐποιήσατο, Ῥωμαίων δὲ τῶν αὐτόθι μετοικούντων τοὺς ἐν ἡλικίᾳ καθοπλίσας, μηχανάς τε παντοδαπὰς καὶ ναυπηγίας τριηρῶν ὑποβαλόμενος, διὰ χειρῶν εἶχε τὰς πόλεις· ἥμερος μὲν ὢν ἐν ταῖς εἰρηνικαῖς χρείαις, φοβερὸς δὲ τῇ παρασκευῇ κατὰ τῶν πολεμίων φαινόμενος.

VII. Ὡς δὲ Σύλλαν μὲν ἐπυνθάνετο τῆς Ῥώμης κρατεῖν, ἔῤῥειν δὲ τὴν Μαρίου καὶ Κάρβωνος στάσιν, αὐτίκα προσδοκῶν στρατιὰν διαπολεμήσουσαν αὐτῷ μεθ' ἡγεμόνος ἀφίξεσθαι, φράγνυται τὰ Πυρηναῖα ὄρη διὰ Ἰουλίου Σαλινάτωρος ἑξακισχιλίους ὁπλίτας ἔχοντος. Καὶ μετ' οὐ πολὺ Γάϊος Ἄννιος

ἐκπεμφθεὶς ὑπὸ Σύλλα, καὶ τὸν Ἰούλιον ἀπρόσμαχον ὁρῶν, ἐν ἀπόρῳ καθῆστο παρὰ ταῖς ὑπωρείαις. Καλπουρνίου δὲ τινος, ἐπίκλησιν Λαναρίου, δολοφονήσαντος τὸν Ἰούλιον, καὶ τῶν στρατιωτῶν τὰ ἄκρα τῆς Πυρήνης ἐκλιπόντων, ὑπερβαλὼν Ἄννιος ἐπῄει χειρὶ μεγάλῃ τοὺς ἐμποδὼν ἀνιστάς. Σερτώριος δ', οὐκ ὢν ἀξιόμαχος, μετὰ τρισχιλίων εἰς Καρχηδόνα τὴν νέαν καταφυγὼν, κἀκεῖθεν ἐπιβὰς τῶν νεῶν, καὶ διαπεράσας τὸ πέλαγος, Λιβύῃ κατὰ τὴν Μαυρουσίαν προσέσχεν. Ἀφυλάκτοις δὲ τοῖς στρατιώταις ὑδρευομένοις τῶν βαρβάρων ἐπιπεσόντων, συχνοὺς ἀποβαλὼν, αὖθις εἰς Ἰβηρίαν ἀπέπλει· καὶ ταύτης μὲν ἀποκρούεται, Κιλισσῶν δὲ λῃστρίδων αὐτῷ προσγενομένων, Πιτυούσσῃ νήσῳ προσέβαλε, καὶ ἀπέβη τὴν παρ' Ἀννίου φρουρὰν βιασάμενος. Ἄννιος δὲ μετ' οὐ πολὺ παρῆν ναυσί τε πολλαῖς καὶ πεντακισχιλίοις ὁπλίταις. Πρὸς ὃν ἐπεχείρησε μὲν διαναυμαχεῖν, καίπερ ἐλαφροῖς, καὶ πρὸς τάχος, οὐ πρὸς ἀλκὴν, πεποιημένοις σκάφεσι χρώμενος· ζεφύρῳ δὲ λαμπρῷ τοῦ πελάγους ἀνισταμένου, καὶ τὰ πολλὰ τῶν τοῦ Σερτωρίου πλοίων ὑπὸ κουφότητος πλάγια ταῖς ῥαχίαις περιβάλλοντος, αὐτὸς ὀλίγαις ναυσὶ τῆς μὲν θαλάσσης ὑπὸ τοῦ χειμῶνος εἰργόμενος, τῆς δὲ γῆς ὑπὸ τῶν πολεμίων, ἡμέρας δέκα σαλεύων πρὸς ἐναντίον κῦμα καὶ κλύδωνα τραχὺν, ἐπιπόνως διεκράτησεν.

VIII. Ἐνδόντος δὲ τοῦ πνεύματος, φερόμενος νήσοις τισὶν ἐναυλίζεται σποράσιν, ἀνύδροις· κἀκεῖ-

θεν ἄρας καὶ διεκβαλὼν τὸν Γαδειραῖον πορθμὸν, ἐν δεξιᾷ τοῖς ἐκτὸς ἐπιβάλλει τῆς Ἰβηρίας, μικρὸν ὑπὲρ τῶν τοῦ Βαίτιος ἐκβολῶν, ὃς εἰς τὴν Ἀτλαντικὴν ἐκφερόμενος θάλατταν, ὄνομα τῇ περὶ αὐτὸν Ἰβηρίᾳ παρέσχεν. Ἐνταῦθα ναῦταί τινες ἐντυγχάνουσιν αὐτῷ, νέον ἐκ τῶν Ἀτλαντικῶν νήσων αναπεπλευκότες, αἳ δύο μέν εἰσὶ, λεπτῷ παντάπασι πορθμῷ διαιρούμεναι, μυρίους δ᾽ ἀπέχουσαι Λιβύης σταδίους, καὶ ὀνομάζονται Μακάρων. Ὄμβροις δὲ χρώμεναι μετρίοις σπανίως, τὰ δὲ πλεῖστα πνεύμασι μαλακοῖς καὶ δροσοβόλοις, οὐ μόνον ἀροῦν καὶ φυτεύειν παρέχουσιν ἀγαθὴν καὶ πίονα χώραν, ἀλλὰ καὶ καρπὸν αὐτοφυῆ φέρουσιν, ἀποχρῶντα πλήθει καὶ γλυκύτητι βόσκειν ἄνευ πόνων καὶ πραγματείας σχολάζοντα δῆμον. Ἀὴρ δ᾽ ἄλυπος ὡρῶν τε κράσει καὶ μεταβολῆς μετριότητι, κατέχει τὰς νήσους. Οἱ μὲν γὰρ ἐνθένδε τῆς γῆς ἀποπνέοντες ἔξω βορέαι καὶ ἀπηλιῶται, διὰ μῆκος ἐκπεσόντες εἰς τόπον ἀχανῆ διασπείρονται καὶ προαπολείπουσι· πελάγιοι δὲ περιῤῥέοντες ἀργέσται καὶ ζέφυροι, βληχροὺς μὲν ὑετοὺς καὶ σποράδας ἐκ θαλάττης ἐπάγοντες, τὰ δὲ πολλὰ νοτεραῖς αἰθρίαις ἐπιψύχοντες ἡσυχῇ τρέφουσιν· ὥστε μέχρι τῶν βαρβάρων διῖχθαι πίστιν ἰσχυρὰν, αὐτόθι τὸ Ἠλύσιον εἶναι πεδίον, καὶ τὴν τῶν εὐδαιμόνων οἴκησιν, ἣν Ὅμηρος ὕμνησε.

IX. Ταῦθ᾽ ὁ Σερτώριος ἀκούσας, ἔρωτα θαυμαστὸν ἔσχεν οἰκῆσαι τὰς νήσους, καὶ ζῆν ἐν ἡσυχίᾳ, τυραννίδος ἀπαλλαγεὶς καὶ πολέμων ἀπαύστων.

Αἰσθόμενοι δὲ οἱ Κίλικες, οὐδὲν εἰρήνης δεόμενοι καὶ σχολῆς, ἀλλὰ πλούτου καὶ λαφύρων, εἰς Λιβύην ἀπέπλευσαν, Ἄσκαλιν τὸν Ἴφθα κατάξοντες ἐπὶ τὴν Μαυρουσίων βασιλείαν. Οὐ μὴν ἀπέκαμεν ὁ Σερτώριος, ἀλλὰ τοῖς πρὸς τὸν Ἄσκαλιν διαπολεμοῦσιν ἔγνω βοηθεῖν, ὡς οἱ σὺν αὐτῷ καινήν τινα λαβόντες ἐλπίδων ἀρχὴν καὶ πράξεων ἑτέρων ὑπόθεσιν, μὴ διαλυθεῖεν ὑπὸ τῆς ἀπορίας. Ἀσμένοις δὲ τοῖς Μαυρουσίοις ἀφικόμενος εἴχετο ἔργου, καὶ κατακυκλωσάμενος τὸν Ἄσκαλιν ἐπολιόρκει. Σύλλα δὲ Πακκιανὸν ἐκπέμψαντος βοηθῆσαι τοῖς περὶ τὸν Ἄσκαλιν μετὰ δυνάμεως, συμβαλὼν ὁ Σερτώριος, τὸν μὲν Πακκιανὸν ἀπέκτεινεν, τὴν δὲ στρατιὰν κρατήσας προσηγάγετο· καὶ τὴν Τιγέννην, εἰς ἣν ὁ Ἄσκαλις συνέφυγε μετὰ τῶν ἀδελφῶν, ἐξεπολιόρκησεν. Ἐνταῦθα τὸν Ἀνταῖον οἱ Λίβυες ἱστοροῦσι κεῖσθαι· καὶ τὸν τάφον αὐτοῦ Σερτώριος διέσκαψε, τοῖς βαρβάροις ἀπιστῶν διὰ μέγεθος. Ἐντυχὼν δὲ τῷ σώματι πηχῶν ἑξήκοντα μῆκος, ὥς φασι, κατεπλάγη, καὶ σφάγιον ἐντεμὼν, συνέχωσε τὸ μνῆμα, καὶ τὴν περὶ αὐτοῦ τιμήν τε καὶ φήμην συνηύξησε. Τιγεννῖται δὲ μυθολογοῦσιν, Ἀνταίου τελευτήσαντος, τὴν γυναῖκα, Τίγγην, Ἡρακλεῖ συνελθεῖν· Σόφακα δ' ἐξ αὐτῶν γενόμενον, βασιλεῦσαι τῆς χώρας καὶ πόλιν ἐπώνυμον τῆς μητρὸς ἀποδεῖξαι· Σόφακος δὲ παῖδα γενέσθαι Διόδωρον, ᾧ πολλὰ τῶν Λιβυκῶν ἐθνῶν ὑπήκουσεν, Ἑλληνικὸν ἔχοντι στράτευμα τῶν αὐτόθι κατῳκισμένων ὑφ' Ἡρακλέους Ὀλβιανῶν καὶ

НБ ОНУ імені І.І. Мечникова

Μυκηναίων. Ἀλλὰ ταῦτα μὲν ἀνακείσθω τῇ Ἰόβα χάριτι, τοῦ πάντων ἱστορικωτάτου βασιλέων. Ἐκείνου γὰρ ἱστοροῦσι τοὺς προγόνους Διοδώρου καὶ Σόφακος ἀπογόνους εἶναι. Σερτώριος δὲ, πάντων ἐγκρατὴς γενόμενος, τοὺς δεηθέντας αὐτοῦ καὶ πιστεύσαντας οὐκ ἠδίκησεν, ἀλλὰ καὶ χρήματα καὶ πόλεις καὶ τὴν ἀρχὴν ἀπέδωκεν αὐτοῖς, ὅσα καλῶς εἶχε δεξάμενος διδόντων.

X. Ἐντεῦθεν, ὅποι χρὴ τραπέσθαι, βουλευόμενον ἐκάλουν Λυσιτανοὶ, πρέσβεις πέμψαντες ἐφ' ἡγεμονίᾳ· πάντως μὲν ἄρχοντος ἀξίωμα μέγα καὶ ἐμπειρίαν ἔχοντος δεόμενοι πρὸς τὸν ἀπὸ Ῥωμαίων φόβον, ἐκείνῳ δὲ πιστεύοντες αὐτοὺς μόνῳ, καὶ πυνθανόμενοι παρὰ τῶν συγγεγονότων τὸ ἦθος αὐτοῦ. Λέγεται γὰρ ὁ Σερτώριος, οὔτε ὑφ' ἡδονῆς, οὔτε ὑπὸ δέους, εὐάλωτος γενέσθαι, φύσει τ' ἀνέκπληκτος εἶναι παρὰ τὰ δεινὰ, καὶ μέτριος εὐτυχίαν ἐνεγκεῖν· καὶ πρὸς μὲν εὐθυμαχίαν οὐδενὸς ἀτολμότερος τῶν καθ' ἑαυτὸν ἡγεμόνων, ὅσα δὲ κλωπείας ἐν πολέμοις ἔργα καὶ πλεονεξίας, περὶ τόπους ὀχυροὺς καὶ διαβάσεις τάχους δεομένας, ἀπάτης τε καὶ ψευδῶν ἐν δέοντι σοφιστὴς δεινότατος. Ἐν δὲ ταῖς τιμαῖς τῶν ἀνδραγαθημάτων δαψιλὴς φαινόμενος, περὶ τὰς τιμωρίας ἐμετρίαζε τῶν ἁμαρτημάτων. Καίτοι δοκεῖ περὶ τὸν ἔσχατον αὐτοῦ βίον ὠμότητος καὶ βαρυθυμίας τὸ περὶ τοὺς ὁμήρους πραχθὲν ἔργον ἐπιδεῖξαι τὴν φύσιν οὐκ οὖσαν ἥμερον, ἀλλ' ἐπαμπεχομένην λογισμῷ διὰ τὴν ἀνάγκην. Ἐμοὶ δ' ἀρετὴν μὲν εἰ-

λικρινῆ καὶ κατὰ λόγον συνεστῶσαν οὐκ ἄν ποτε δοκεῖ τύχη τις ἐκστῆσαι πρὸς τοὐναντίον· ἄλλως δὲ προαιρέσεις καὶ φύσεις χρηστὰς, ὑπὸ συμφορῶν μεγάλων παρ' ἀξίαν κακωθείσας, οὐκ ἀδύνατον τῷ δαίμονι συμμεταβαλεῖν τὸ ἦθος. Ὃ καὶ Σερτώριον οἶμαι παθεῖν, ἤδη τῆς τύχης αὐτὸν ἐπιλειπούσης, ἐκτραχυνόμενον ὑπὸ τῶν πραγμάτων, γινομένων πονηρῶν, πρὸς τοὺς ἀδικοῦντας.

XI. Οὐ μὴν ἀλλὰ τότε γε, Λυσιτανῶν καλούντων, ἀπῆρεν ἐκ Λιβύης. Καὶ τούτους συνέταττεν εὐθὺς αὐτοκράτωρ στρατηγὸς, καὶ τὴν ἐγγὺς Ἰβηρίαν ὑπήκοον ἐποιεῖτο, τῶν πλείστων ἑκουσίως προστιθεμένων, μάλιστα μὲν διὰ τὸ πρᾷον αὐτοῦ καὶ δραστήριον· ἔστι δὲ ἃ καὶ σοφιστικῶς αὐτὸς εἰς ἀπάτην καὶ κήλησιν ἐμηχανᾶτο. Καὶ πρῶτόν γε πάντων, τὸ περὶ τὴν ἔλαφον. Ἦν δὲ τοιόνδε· Σπάνος, ἀνὴρ δημότης, τῶν ἐπὶ χώρας βιούντων, ἐλάφῳ νεοτόκῳ φευγούσῃ κυνηγέτας ἐπιτυχὼν, αὐτῆς μὲν ἀπελείφθη, τὴν δὲ νεβρὸν, ἐκπλαγεὶς τῇ καινότητι τῆς χρόας (λευκὴ γὰρ ἦν πᾶσα), λαμβάνει διώξας. Κατὰ τύχην δὲ Σερτωρίου τοῖς τόποις ἐναυλισαμένου, καὶ πᾶν, ὅ τις ἐξ ἄγρας, ἢ γεωργίας, ἥκοι κομίζων δῶρον, ἀσμένως δεχομένου, καὶ φιλοφρόνως ἀμειβομένου τοὺς θεραπεύοντας, ἐγχειρίζει φέρων αὐτῷ τὴν νεβρόν. Ὁ δὲ, δεξάμενος, αὐτίκα μὲν ἥσθη μετρίως· χρόνῳ δὲ ποιησάμενος τιθασὸν οὕτω καὶ φιλάνθρωπον, ὥστε καὶ καλοῦντος ἀκούειν, καὶ βαδίζοντι ποι παρακολουθεῖν, ὄχλου τε καὶ θορύβου

παντὸς ἀνέχεσθαι στρατιωτικοῦ, κατὰ μικρὸν ἐξεθείαζε, φάσκων, Ἀρτέμιδος δῶρον τὴν ἔλαφον εἶναι· καὶ πολλὰ τῶν ἀδήλων ἐπεφήμιζεν αὐτῷ δηλοῦν, γινώσκων, εὐάλωτον εἰς δεισιδαιμονίαν εἶναι φύσει τὸ βαρβαρικόν. Ὁ δὲ καὶ προσετεχνᾶτο τοιάδε· γνοὺς γὰρ ἂν κρύφα τοὺς πολεμίους ἐμβεβληκότας ποι τῆς ὑπ' αὐτὸν χώρας, ἢ πόλιν ἀφιστάντας, προσεποιεῖτο τὴν ἔλαφον αὐτῷ κατὰ τοὺς ὕπνους διειλέχθαι, κελεύουσαν ἐν ἑτοίμῳ τὰς δυνάμεις ἔχειν. Αὖθις δὲ νίκην τινὰ τῶν ἑαυτοῦ στρατηγῶν ἀκούσας, τὸν μὲν ἄγγελον ἔκρυπτε, τὴν δ' ἔλαφον ἐστεφανωμένην ἐπ' εὐαγγελίοις προῆγεν, εὐθυμεῖσθαι παρακαλῶν, καὶ τοῖς θεοῖς θύειν, ὡς ἀγαθόν τι πευσομένους.

XII. Οὕτω δὲ χειροήθεις ποιησάμενος αὐτούς, ἐχρῆτο πρὸς ἅπαντα μετριωτέροις, οὐχ ὑπ' ἀνδρὸς ἀλλοδαποῦ λογισμῶν, ἀλλ' ὑπὸ θεοῦ στρατηγεῖσθαι πειθομένοις· ἅμα καὶ τῶν πραγμάτων ἐπιμαρτυρούντων τῷ παρὰ λόγον τὴν δύναμιν αὐξάνεσθαι. Δισχιλίοις γὰρ ἑξακοσίοις, οὓς ὠνόμαζε Ῥωμαίους, συμμίκτοις δὲ ἑπτακοσίοις Λιβύων εἰς Λυσιτανίαν αὐτῷ συνδιαβᾶσι, πελταστὰς τετρακισχιλίους Λυσιτανῶν καὶ ἱππεῖς ἑπτακοσίους προσλαβών, ἐπολέμει τέτταρσι Ῥωμαίων στρατηγοῖς· ὑφ' οἷς ἦσαν πεζῶν μὲν δώδεκα μυριάδες, ἱππεῖς δὲ ἑξακισχίλιοι, τοξόται δὲ καὶ σφενδονῆται δισχίλιοι, πόλεις δ' ἀναρίθμητοι τὸ πλῆθος, αὐτὸς εἴκοσι τὰς πάσας ἐν ἀρχῇ κεκτημένος. Ἀλλ' ὅμως ἀσθενὴς οὕτω καὶ μικρὸς ἀρξάμενος, οὐ μόνον ἐθνῶν ἐκράτησε μεγάλων, καὶ

НБ ОНУ імені І.І. Мечникова

πόλεις εἷλε πολλὰς, ἀλλὰ καὶ τῶν ἀντιστρατήγων, Κότταν μὲν ἐν τῷ περὶ τὴν Μελλαρίαν πορθμῷ κατεναυμάχησέ που· Φίδιον δὲ, τὸν ἄρχοντα τῆς Βαιτικῆς, περὶ τὸν Βαῖτιν ἐτρέψατο, δισχιλίους ἀποκτείνας Ῥωμαίων. Δομίτιον δὲ καὶ Λούσιον, ἀνθύπατον ὄντα τῆς ἑτέρας Ἰβηρίας, διὰ τοῦ ταμίου καταγωνισάμενος, καὶ Θωράνιον, ἄλλον ἡγεμόνα τῶν ὑπὸ Μετέλλου πεμφθέντων μετὰ δυνάμεως ἀνεῖλεν. Αὐτόν τε τὸν Μέτελλον, ἄνδρα Ῥωμαίων ἐν τοῖς τότε μέγιστον καὶ δοκιμώτατον, οὐκ ὀλίγοις σφάλμασι περιβαλὼν, εἰς τοσαύτην ἀπορίαν κατέστησεν, ὥστε Λεύκιον μὲν Λόλλιον ἐκ τῆς περὶ Ναρβῶνα Γαλατίας ἐλθεῖν αὐτῷ βοηθὸν, Πομπήϊον δὲ Μάγνον ἐκ Ῥώμης κατὰ τάχος ἀποσταλῆναι μετὰ δυνάμεως. Οὐ γὰρ εἶχεν ὁ Μέτελλος, ὅ τι χρήσαιτο προσπολεμῶν ἀνδρὶ τολμητῇ, πάσης ἐξαναδυομένῳ φανερᾶς μάχης, πᾶσαν δὲ μεταβαλλομένῳ μεταβολὴν εὐσταλίᾳ καὶ κουφότητι τῆς Ἰβηρικῆς στρατιᾶς, αὐτὸς ὁπλιτικῶν καὶ νομίμων ἀσκητὴς γεγονὼς ἀγώνων, καὶ στρατηγὸς ἐμβριθοῦς καὶ μονίμου φάλαγγος, ὤσασθαι μὲν εἰς χεῖρας ἐλθόντας πολεμίους καὶ καταβαλεῖν ἄριστα γεγυμνασμένης, ὀρειβατεῖν δὲ καὶ συνηρτῆσθαι διώξεσι καὶ φυγαῖς ἀπαύστοις ἀνθρώπων ὑπηνεμίων, καὶ λιμὸν ἀνέχεσθαι καὶ δίαιταν ἄπυρον καὶ ἄσκηνον, ὥσπερ ἐκεῖνοι, μὴ δυναμένης.

XIII. Ἔτι δ᾽ αὐτὸς μὲν ἤδη πρεσβύτερος ἦν, καί τι καὶ πρὸς ἀνειμένην ἤδη καὶ τρυφερὰν δίαιταν ἐκ πολλῶν ἀγώνων καὶ μεγάλων ἐνδεδωκώς· τῷ δὲ

НБ ОНУ імені І.І. Мечникова

Σερτωρίῳ συνειστήκει, πνεύματος ἀκμαίου γέμοντι, καὶ κατεσκευασμένον ἔχοντι θαυμασίως τὸ σῶμα ῥώμῃ καὶ τάχει καὶ λιτότητι. Μέθης μὲν γὰρ οὐδὲ ῥαθυμῶν ἥπτετο· πόνους δὲ μεγάλους καὶ μακρὰς ὁδοιπορίας καὶ συνεχεῖς ἀγρυπνίας ὀλίγοις εἴθιστο καὶ φαύλοις ἀρκούμενος σιτίοις διαφέρειν. Πλάνοις δὲ χρώμενος ἀεὶ καὶ κυνηγεσίοις, ὁπότε σχολάζοι, πάσης διεκδύσεως φεύγοντι, καὶ διώκοντι κυκλώσεως, ἀβάτων τε καὶ βασίμων τόπων ἐμπειρίαν προσειλήφει. Διὸ τῷ μὲν εἰργομένῳ μάχης, ὅσα νικώμενοι πάσχουσιν ἄνθρωποι, βλάπτεσθαι συνέβαινεν· ὁ δὲ τῷ φεύγειν εἶχε τὰ τῶν διωκόντων. Καὶ γὰρ ὑδρείας ἀπέκοπτε, καὶ σιτολογίας εἶργε, καὶ προϊόντι μὲν ἐμποδὼν ἦν, ἐκίνει δὲ ἱδρυνθέντα, πολιορκοῦντι δ' ἄλλους ἐπιφαινόμενος, ἀντεπολιόρκει ταῖς τῶν ἀναγκαίων ἀπορίαις· ὥστε τοὺς στρατιώτας ἀπαγορεύειν, καὶ, τοῦ Σερτωρίου μονομαχῆσαι προκαλουμένου τὸν Μέτελλον, βοᾶν καὶ κελεύειν μάχεσθαι στρατηγὸν στρατηγῷ, καὶ Ῥωμαῖον Ῥωμαίῳ, ἀναδυόμενον δὲ χλευάζειν. Ὁ δὲ τούτων μὲν, εὖ ποιῶν, κατεγέλα· στρατηγοῦ γὰρ, ὡς ἔφη Θεόφραστος, δεῖ θάνατον ἀποθνήσκειν τὸν στρατηγὸν, οὐ πελταστοῦ τοῦ τυχόντος. Ὁρῶν δὲ τοὺς Λαγγοβρίτας οὐ μικρὰ τῷ Σερτωρίῳ συλλαμβανομένους, δίψῃ δ' ὄντας εὐαλώτους, (ἓν γὰρ ἦν αὐτοῖς φρέαρ ἐν τῇ πόλει, τῶν δ' ἐν τοῖς προαστείοις καὶ παρὰ τὰ τείχη ναμάτων ὁ πολιορκῶν ἐπικρατεῖν ἔμελλεν) ἧκεν ἐπὶ τὴν πόλιν, ὡς ἡμέραις δυσὶ συναιρήσων τὴν πολιορκίαν,

ὕδατος οὐκ ὄντος. Διὸ καὶ πέντε ἡμερῶν ἐπιφέρεσθαι σιτία μόνον προείρητο τοῖς στρατιώταις. Ὁ Σερτώριος δ᾽ ὀξέως βοηθήσας, ἐκέλευσε δισχιλίους ἀσκοὺς ὕδατος ἐμπλῆσαι, καθ᾽ ἕκαστον ἀσκὸν ἀργύριον συχνὸν τάξας. Καὶ πολλῶν μὲν Ἰβήρων, πολλῶν δὲ Μαυρουσίων ὑφισταμένων τὸ ἔργον, ἐπιλεξάμενος ἄνδρας εὐρώστους ἅμα καὶ ποδώκεις, ἔπεμψε διὰ τῆς ὀρεινῆς, κελεύσας, ὅταν παραδῶσι τοὺς ἀσκοὺς τοῖς ἐν τῇ πόλει, τὸν ἄχρηστον ὑπεξαγαγεῖν ὄχλον, ὅπως ἐξαρκῇ τοῖς ἀμυνομένοις τὸ ποτόν. Ἐκπύστου δὲ τούτου γενομένου πρὸς τὸν Μέτελλον, ἤχθετο μὲν, ἤδη τὰ ἐπιτήδεια τῶν στρατιωτῶν ὑπαναλωκότων· ἐξέπεμψε δ᾽ ἐπὶ σιτολογίαν Ἀκυΐνον ἑξακισχιλίων ἡγούμενον. Αἰσθόμενος δ᾽ ὁ Σερτώριος, καὶ προλοχίσας τὴν ὁδὸν, ἐπανερχομένῳ τῷ Ἀκυΐνῳ τρισχιλίους ἄνδρας ἔκ τινος συσκίου χαράδρας ἐπανίστησιν. Αὐτὸς δὲ κατὰ στόμα προσβαλὼν τρέπεται, καὶ τοὺς μὲν διαφθείρει, τοὺς δὲ λαμβάνει ζῶντας. Ἀκυΐνον δὲ μετὰ τῶν ὅπλων καὶ τὸν ἵππον ἀποβεβληκότα δεξάμενος Μέτελλος, αἰσχρῶς ἀπήει, πολλὰ χλευαζόμενος ὑπὸ τῶν Ἰβήρων.

XIV. Ἔκ τε δὴ τούτων θαυμαζόμενος ἠγαπᾶτο παρὰ τοῖς βαρβάροις ὁ Σερτώριος, καὶ ὅτι Ῥωμαϊκοῖς ὁπλισμοῖς καὶ τάξεσι καὶ συνθήμασιν ἀφαιρῶν τὸ μανικὸν καὶ θηριῶδες αὐτῶν τῆς ἀλκῆς, ἀντὶ λῃστηρίου μεγάλου στρατὸν ἐποιεῖτο τὴν δύναμιν. Ἔτι δ᾽ ἀργύρῳ χρώμενος ἀφειδῶς καὶ χρυσῷ κράνη τε κατεκόσμει, καὶ θυρεοὺς αὐτῶν διεποίκιλλε, καὶ

НБ ОНУ імені І.І. Мечникова

χλαμύσιν ἀνθιναῖς καὶ χιτῶσι χρῆσθαι διδάσκων, καὶ χορηγῶν εἰς ταῦτα καὶ συμφιλοκαλῶν ἐδημαγώγει. Μάλιστα δὲ εἷλεν αὐτοὺς τὰ τῶν παίδων. Τοὺς γὰρ εὐγενεστάτους ἀπὸ τῶν ἐθνῶν συναγαγὼν εἰς Ὄσκαν, πόλιν μεγάλην, διδασκάλους ἐπιστήσας Ἑλληνικῶν τε καὶ Ῥωμαϊκῶν μαθημάτων, ἔργῳ μὲν ἐξωμηρεύσατο, λόγῳ δ᾽ ἐπαίδευεν, ὡς ἀνδράσι γενομένοις πολιτείας τε μεταδώσων καὶ ἀρχῆς. Οἱ δὲ πατέρες ἥδοντο θαυμαστῶς, τοὺς παῖδας ἐν περιπορφύροις ὁρῶντες μάλα κοσμίως φοιτῶντας εἰς τὰ διδασκαλεῖα, καὶ τὸν Σερτώριον ὑπὲρ αὐτῶν μισθοὺς τελοῦντα, καὶ πολλάκις ἐπιδείξεις λαμβάνοντα, καὶ γέρα τοῖς ἀξίοις νέμοντα, καὶ τὰ χρυσᾶ περιδέραια δωρούμενον, ἃ Ῥωμαῖοι βούλλας καλοῦσιν. Ἔθους δ᾽ ὄντος Ἰβηρικοῦ, τοὺς περὶ τὸν ἄρχοντα τεταγμένους συναποθνήσκειν αὐτῷ πεσόντι, καὶ τοῦτο τῶν ἐκεῖ βαρβάρων κατάσπεισιν ὀνομαζόντων, τοῖς μὲν ἄλλοις ἡγεμόσιν ὀλίγοι τῶν ὑπασπιστῶν καὶ τῶν ἑταίρων, Σερτωρίῳ δὲ πολλαὶ μυριάδες ἀνθρώπων κατεσπεικότων ἑαυτοὺς ἠκολούθουν. Λέγεται δὲ, πρός τινι πόλει τροπῆς γενομένης, καὶ τῶν πολεμίων ἐπικειμένων, τοὺς Ἴβηρας ἀμελήσαντας αὑτῶν, τὸν Σερτώριον σώζειν, καὶ τοῖς ὤμοις ἐπαραμένους, ἄλλους πρὸ ἄλλων, ἀνακουφίσαι πρὸς τὰ τείχη· γενομένου δ᾽ ἐν ἀσφαλεῖ τοῦ ἄρχοντος, οὕτω τρέπεσθαι πρὸς φυγὴν ἕκαστον αὐτῶν.

XV. Οὐ μόνον δὲ τοῖς Ἴβηρσιν ἦν ποθεινὸς, ἀλλὰ καὶ τοῖς ἐξ Ἰταλίας στρατευομένοις. Περπέννα

γοῦν Οὐέντωνος, ἀπὸ τῆς αὐτῆς Σερτωρίῳ στάσεως εἰς Ἰβηρίαν παραγενομένου μετὰ χρημάτων πολλῶν καὶ μεγάλης δυνάμεως, ἰδίᾳ δὲ καθ' ἑαυτὸν ἐγνωκότος πολεμεῖν πρὸς τὸν Μέτελλον, ἐδυσχέραινον οἱ στρατιῶται, καὶ πολὺς ἦν τοῦ Σερτωρίου λόγος ἐν τῷ στρατοπέδῳ, τὸν Περπένναν ἀνιῶν, εὐγενείᾳ καὶ πλούτῳ τετυφωμένον. Οὐ μὴν ἀλλ' ἐπεὶ Πομπήϊος ἠγγέλλετο τὴν Πυρήνην ὑπερβάλλων, ἀναλαβόντες οἱ στρατιῶται τὰ ὅπλα, καὶ τὰ σημεῖα τῶν τάξεων ἀναρπάσαντες, κατεβόησαν τοῦ Περπέννα, κελεύοντες ὡς τὸν Σερτώριον ἄγειν αὐτούς· εἰ δὲ μὴ, καταλιπόντες ἐκεῖνον ἠπείλουν αὐτοὶ βαδιεῖσθαι πρὸς ἄνδρα σώζεσθαι καὶ σώζειν δυνάμενον. Συγχωρήσας δ' ὁ Περπέννας ἤγαγεν αὐτοὺς, καὶ συνέμιξε τῷ Σερτωρίῳ, πεντήκοντα καὶ τρεῖς ἔχων σπείρας.

XVI. Σερτώριος δὲ, τῶν ἐντὸς Ἴβηρος αὐτῷ ποταμοῦ πάντων ὁμοῦ τι προστιθεμένων, πλήθει μὲν ἦν μέγας· ἐπέῤῥεον γὰρ ἀεὶ καὶ συνεφέροντο πανταχόθεν πρὸς αὐτόν· ἀταξίᾳ δὲ βαρβαρικῇ καὶ θρασύτητι ταραττόμενος, ἐπιχειρεῖν τοῖς πολεμίοις βοώντων, καὶ τὴν τριβὴν δυσανασχετούντων, ἐπειρᾶτο παραμυθεῖσθαι διὰ λόγων. Ὡς δ' ἑώρα χαλεπαίνοντας καὶ βιαζομένους ἀκαίρως, προήκατο καὶ περιεῖδε συμπλεκομένους τοῖς πολεμίοις· ἐν οἷς οὐ παντελῶς συντριβέντας, ἀλλὰ πληγὰς λαβόντας, ἤλπιζε πρὸς τὰ λοιπὰ κατηκόους μᾶλλον ἕξειν. Ὧν δ' εἴκαζε γενομένων, ἐπιβοηθήσας, ἀνέλαβέ τε φεύγοντας αὐτοὺς, καὶ κατέστησεν ἀσφαλῶς εἰς τὸ στρα-

τόπεδον. Βουλόμενος δὲ καὶ τὴν ἀθυμίαν ἀφελεῖν, μεθ' ἡμέρας ὀλίγας πάνδημον ἐκκλησίαν ἀθροίσας, ἵππους εἰσήγαγε δύο, τὸν μὲν ἀσθενῆ τελέως, καὶ πρεσβύτερον ἤδη, τὸν δ' ἕτερον εὐμεγέθη μὲν αὐτὸν καὶ ἰσχυρὸν, θαυμαστὴν δὲ πυκνότητι καὶ κάλλει τριχῶν οὐρὰν ἔχοντα. Παρειστήκει δὲ τῷ μὲν ἀσθενεῖ μέγας ἀνὴρ καὶ ῥωμαλέος, τῷ δ' ἰσχυρῷ μικρὸς ἕτερος, καὶ τὴν ὄψιν εὐκαταφρόνητος. Σημείου δὲ δοθέντος αὐτοῖς, ὁ μὲν ἰσχυρὸς ἀμφοτέραις ταῖς χερσὶ τοῦ ἵππου τὴν κέρκον, ὡς ἀποῤῥήξων, εἷλκε βίᾳ πρὸς αὑτόν· ὁ δ' ἀσθενὴς τοῦ ἰσχυροῦ κατὰ μίαν τῶν τριχῶν ἐξέτιλλεν. Ἐπεὶ δ' ὁ μὲν, οὐκ ὀλίγα πράγματα μάτην ἑαυτῷ καὶ πολὺν γέλωτα τοῖς θεωμένοις παρασχὼν, ἀπεῖπεν, ὁ δ' ἀσθενὴς ἐν ἀκαρεῖ καὶ σὺν οὐδενὶ πόνῳ ψιλὴν τριχῶν ἀπέδειξε τὴν οὐρὰν, ἀναστὰς ὁ Σερτώριος· Ὁρᾶτε, εἶπεν, ἄνδρες σύμμαχοι, τὴν ἐπιμονὴν ἀνυσιμωτέραν τῆς βίας οὖσαν, καὶ πολλὰ τῶν ἀθρόως ἀλήπτων ἐνδιδόντα τῷ κατὰ μικρόν. Ἄμαχον γὰρ τὸ ἐνδελεχὲς, ᾧ πᾶσαν ἐπιὼν ὁ χρόνος αἱρεῖ καὶ κατεργάζεται δύναμιν, εὐμενὴς ὢν σύμμαχος τοῖς δεχομένοις λογισμῷ τὸν καιρὸν αὐτοῦ, τοῖς δ' ἀκαίρως ἐπειγομένοις πολεμιώτατος. Τοιαῦτα μὲν ὁ Σερτώριος ἑκάστοτε πλέκων παραμύθια τοῖς βαρβάροις, διεπαιδαγώγει τὸν καιρόν.

XVII. Οὐδενὸς δὲ ἧττον αὐτοῦ τῶν πολεμικῶν ἔργων ἐθαυμάσθη τὸ περὶ τοὺς λεγομένους Χαρακιτανούς. Εἰσὶ δὲ δῆμος ὑπὲρ τὸν Ταγώνιον ποταμὸν, οὐκ ἄστεσιν, οὐδὲ κώμαις ἐνοικοῦντες, ἀλλὰ λόφος

НБ ОНУ імені І.І. Мечникова

ἐστὶν εὐμεγέθης καὶ ὑψηλὸς, ἄντρα καὶ κοιλώματα πετρῶν βλέποντα πρὸς βορέαν περιέχων. Ἡ δ' ὑποκειμένη πᾶσα χώρα πηλὸν ἀργιλώδη καὶ γῆν ὑπὸ χαυνότητος εὔθρυπτον ἀναδίδωσιν, οὔτε τοὺς ἐπιβαίνοντας ἀνέχεσθαι καρτερὰν, καὶ μικρὸν ἁψαμένων, ὥσπερ ἄσβεστον, ἢ τέφραν, ἐπὶ πολὺ διαχεομένην. Τῶν οὖν βαρβάρων, ὁσάκις φόβῳ πολέμου καταδύντες εἰς τὰ σπήλαια, καὶ τὴν λείαν εἴσω συναγαγόντες ἀτρεμοῖεν, ὄντων ἀλήπτων ὑπὸ βίας, τὸν δὲ Σερτώριον, τότε διακεκριμένον ἀπὸ τοῦ Μετέλλου, καὶ καταστρατοπεδεύσαντα παρὰ τὸν λόφον, ὑπερφρονούντων, ὡς κεκρατημένον, εἴτε ὑπ' ὀργῆς ἐκεῖνος, εἴτε καὶ μὴ δοκεῖν φεύγειν βουλόμενος, ἅμ' ἡμέρᾳ προσελάσας, κατεσκέπτετο τὸν τόπον. Οὐδαμόθεν δὲ προσβολὴν ἔχοντος, ἄλλως ἀλύων, καὶ κεναῖς χρώμενος ἀπειλαῖς, ὁρᾷ τῆς γῆς ἐκείνης κονιορτὸν ἄνω πολὺν ὑπὸ πνεύματος ἐπ' αὐτοὺς φερόμενον. Τέτραπται μὲν γὰρ, ὡς ἔφην, τὰ σπήλαια πρὸς βορέαν. Ὁ δ' ἀπὸ τῆς ἄρκτου ῥέων ἄνεμος, ὃν Καικίαν ἔνιοι καλοῦσιν, ἐπέχει μάλιστα, καὶ πλεῖστός ἐστι τῶν ἐκεῖ πνευμάτων, ἐξ ὑγρῶν πεδίων καὶ νιφοβόλων συμφυσώμενος ὀρῶν. Τότε δὲ καὶ, θέρους ἀκμάζοντος, ἰσχύων καὶ τρεφόμενος τῇ τῶν ὑπαρκτίων ἀνέσει πάγων, ἥδιστος ἐπέπνει, καὶ κατεῖχεν αὐτούς τε καὶ βοτὰ δι' ἡμέρας ἀναψύχων. Ταῦτα δὴ συλλογιζόμενος ὁ Σερτώριος, καὶ παρὰ τῶν ἐγχωρίων ἀκούων, ἐκέλευσε τοὺς στρατιώτας, τῆς ἀραιᾶς καὶ τεφρώδους γῆς ἐκείνης ἀπο-

НБ ОНУ імені І.І. Мечникова

στῶντας καὶ παραφέροντας καταντικρὺ τοῦ λόφου θῖνα ποιεῖν. ἣν οἱ βάρβαροι χώματος ἐπ' αὐτοὺς εἶναι κατασκευὴν ὑπονοοῦντες, ἐχλεύαζον. Τότε μὲν οὖν ἐργασαμένους τοὺς στρατιώτας ἄχρι νυκτὸς ἀπήγαγεν· ἅμα δ' ἡμέρᾳ πρῶτον μὲν αὔρα μαλακὴ προσέπνει, διακινοῦσα τῆς συμπεφορημένης γῆς τὸ λεπτότατον, ὥσπερ ἄχνην, σκιδνάμενον· ἔπειτα σοβαροῦ τοῦ Καικίου πρὸς τὸν ἥλιον ἐκχεομένου, καὶ τῶν λόφων κονιωμένων, ἐπιστάντες οἱ στρατιῶται τόν τε χοῦν ἀνέτρεπον διὰ βάθους, καὶ τὸν πηλὸν ἔκοπτον. Ἔνιοι δὲ καὶ τοὺς ἵππους ἄνω καὶ κάτω διεξήλαυνον, ἀνιστάντες τὸ χαῦνωμα, καὶ τῇ πνοῇ μετέωρον παραδιδόντες. Ἡ δὲ, ὑπολαμβάνουσα πᾶν τὸ θρυπτόμενον καὶ κινούμενον, ἄνω προσέβαλλε τοῖς οἰκήμασι τῶν βαρβάρων, κατὰ θύρας δεχομένοις τὸν Καικίαν. Οἱ δ' ἅτε δὴ τῶν σπηλαίων μίαν ἐκείνην ἀναπνοὴν ἐχόντων, ᾗ τὸ πνεῦμα προσέπιπτε, ταχὺ μὲν ἀπεσκοτοῦντο τὰς ὄψεις, ταχὺ δ' ἀνεπίμπλαντο πνιγώδους ἄσθματος, τραχὺν ἀέρα καὶ πολλῇ κόνει συμπεφυρμένον ἕλκοντες. Ὅθεν ἡμέρας δύο μόλις ἀνασχόμενοι, τῇ τρίτῃ παρέδωκαν ἑαυτοὺς, οὐ τοσοῦτον Σερτωρίῳ δυνάμεως, ὅσον δόξης, προσθέντες, ὡς τὰ δι' ὅπλων ἀνάλωτα σοφίᾳ κατεργασαμένῳ.

XVIII. Μέχρι μὲν οὖν τοῖς περὶ Μέτελλον ἐπολέμει, τὰ πλεῖστα κατευτυχεῖν ἐδόκει, γήρᾳ καὶ φυσικῇ βραδυτῆτι τοῦ Μετέλλου πρὸς ἄνδρα τολμητὴν, καὶ ληστρικῆς μᾶλλον, ἢ στρατιωτικῆς, ἡγουμένου

НБ ОНУ імені І.І. Мечникова

δυνάμεως, οὐκ ἀναφέροντος· ἐπεὶ δὲ καὶ Πομπηΐῳ τὴν Πυρήνην ὑπερβαλόντι παραστρατοπεδεύσας, καὶ πᾶσαν ἅμα μὲν διδοὺς, ἅμα δὲ λαμβάνων στρατηγικῶν παλαισμάτων πεῖραν, ἀντιτεχνώμενός τε καὶ φυλαττόμενος πλεῖον εἶχε, κομιδῇ διεβοήθη μέχρι Ῥώμης, ὡς δεινότατος ὢν πόλεμον μεταχειρίσασθαι τῶν τότε στρατηγῶν. Οὐ γάρ τι μικρὸν ἦν τὸ Πομπηΐου κλέος, ἀλλ' ἤνθει τότε μάλιστα πρὸς δόξαν ἐκ τῶν περὶ Σύλλαν ἀνδραγαθημάτων· ἐφ' οἷς καὶ Μάγνος ὑπ' αὐτοῦ, τουτέστι μέγας, ἐπωνομάσθη, τιμῶν τε θριαμβικῶν οὔπω γενειῶν ἔτυχεν. Ὅθεν καὶ πολλαὶ τῶν ὑπὸ Σερτωρίῳ πόλεων ἀποβλέψασαι πρὸς αὐτὸν, ὁρμὴν μεταβολῆς ἔσχον, εἶτ' ἐπαύσαντο, τοῦ περὶ Λαύρωνα πάθους παρὰ πᾶσαν ἐλπίδα συμβάντος. Σερτωρίου γὰρ πολιορκοῦντος αὐτοὺς, ἧκε Πομπήϊος πανστρατιᾷ βοηθήσων, εἶτα ὁ μὲν λόφον εὖ δοκοῦντα πεφυκέναι κατὰ τῆς πόλεως προληψόμενος, ὁ δὲ τοῦτο κωλύσων ἠπείγετο. Τοῦ δὲ Σερτωρίου φθάσαντος, ἐπιστήσας τὸν στρατὸν ὁ Πομπήϊος, ἔχαιρε τῇ συντυχίᾳ, νομίζων ἐν μέσῳ τῆς πόλεως καὶ τῆς αὐτοῦ στρατιᾶς ἀπειλῆφθαι τὸν Σερτώριον· καὶ πρὸς τοὺς Λαυρωνίτας εἰσέπεμψε, θαῤῥεῖν κελεύων, καὶ καθῆσθαι περὶ τὰ τείχη θεωμένους πολιορκούμενον Σερτώριον. Ἐκεῖνος δ' ἀκούσας ἐγέλασε, καὶ τὸν Σύλλα μαθητὴν (οὕτω γὰρ τὸν Πομπήϊον ἐπισκώπτων προσηγόρευεν) αὐτὸς ἔφη διδάξειν, ὅτι δεῖ τὸν στρατηγὸν κατόπιν μᾶλλον, ἢ κατὰ πρόσωπον, βλέπειν. Ταῦτα δὲ λέγων, ἅμα

τοῖς πολιορκουμένοις ἐπιδεικνύειν ἑξακισχιλίους ὁπλίτας ὑπ' αὐτοῦ καταλελειμμένους ἐπὶ τοῦ προτέρου χάρακος, ὅθεν ὁρμηθεὶς κατειλήφει τὸν λόφον· ὅπως ἐπὶ σφᾶς τρεπομένῳ τῷ Πομπηΐῳ κατὰ νώτου προσπέσοιεν. Ὃ δὴ καὶ Πομπήϊος ὀψὲ μάλα συμφρονήσας, ἐπιχειρεῖν μὲν οὐκ ἐθάῤῥει, κύκλωσιν δεδοικὼς, ἀπολιπεῖν δ' ᾐσχύνετο κινδυνεύοντας ἀνθρώπους· παρὼν δὲ καὶ καθήμενος ἠναγκάζετο ὁρᾷν ἀπολλυμένους. Ἀπέγνωσαν γὰρ αὑτοὺς οἱ βάρβαροι, καὶ τῷ Σερτωρίῳ παρέδωκαν. Ὁ δὲ τῶν μὲν σωμάτων ἐφείσατο, καὶ πάντας ἀφῆκε, τὴν δὲ πόλιν κατέπρησεν, οὐχ ὑπ' ὀργῆς, οὐδ' ὠμότητος, (ἐλάχιστα γὰρ δοκεῖ θυμῷ χαρίσασθαι τῶν στρατηγῶν οὗτος ἀνὴρ) ἀλλ' ἐπ' αἰσχύνῃ καὶ κατηφείᾳ τῶν τεθαυμακότων Πομπήϊον· ἵνα ᾖ λόγος ἐν τοῖς βαρβάροις, ὅτι παρὼν ἐγγὺς καὶ μονονοὺ θερμαινόμενος τῷ πυρὶ τῶν συμμάχων οὐ προσήμυνεν.

XIX. Ἧτται μὲν οὖν τῷ Σερτωρίῳ πλείονες συνέβαινον, αὐτὸν μὲν ἀήττητον ἀεὶ φυλάττοντι, καὶ τοὺς καθ' αὑτὸν, θραυομένῳ δὲ περὶ τοὺς ἄλλους ἡγεμόνας. Ἐκ δὲ ὧν ἐπηνορθοῦτο τὰς ἥττας, μᾶλλον ἐθαυμάζετο νικώντων τῶν ἀντιστρατήγων, οἷον ἐν τῇ περὶ Σούκρωνα μάχῃ πρὸς Πομπήϊον, καὶ πάλιν ἐν τῇ περὶ Τουττίαν, πρός τε τοῦτον ὁμοῦ καὶ Μέτελλον. Ἡ μὲν οὖν περὶ Σούκρωνα μάχη λέγεται γενέσθαι τοῦ Πομπηΐου κατεπείξαντος, ὡς μὴ μετάσχοι τῆς νίκης Μέτελλος. Ὁ δὲ Σερτώριος ἐβούλετο μὲν τῷ Πομπηΐῳ, πρὶν ἐπελθεῖν τὸν Μέ-

τελλον, διαγωνίσασθαι· ἐπαγαγὼν δ' ἑσπέρας ἤδη συνέβαλεν, οἰόμενος, ξένοις οὖσι καὶ ἀπείροις τῶν χωρίων τοῖς πολεμίοις τὸ σκότος ἔσεσθαι καὶ φεύγουσιν ἐμπόδιον καὶ διώκουσι. Γενομένης δὲ τῆς μάχης ἐν χερσὶν, ἔτυχε μὲν οὐ πρὸς Πομπήιον αὐτὸς, ἀλλὰ πρὸς Ἀφράνιον ἐν ἀρχῇ συνεστηκὼς, ἔχοντα τὸ ἀριστερὸν, αὐτὸς ἐπὶ τοῦ δεξιοῦ τεταγμένος. Ἀκούσας δὲ, τῷ Πομπηΐῳ τοὺς συνεστῶτας ὑποχωρεῖν ἐγκειμένῳ καὶ κρατεῖσθαι, τὸ μὲν δεξιὸν ἐπ' ἄλλοις ἐποιήσατο στρατηγοῖς, πρὸς δ' ἐκεῖνο τὸ νικώμενον αὐτὸς ἐβοηδρόμει. Καὶ τοὺς μὲν ἤδη τρεπομένους, τοὺς δ' ἔτι μένοντας ἐν τάξει, συναγαγὼν καὶ ἀναθαρρύνας, ἐξ ὑπαρχῆς ἐνέβαλε τῷ Πομπηίῳ διώκοντι, καὶ φυγὴν ἐποιήσατο πολλήν· ὅτε καὶ Πομπήϊος, ἐγγὺς ἐλθὼν ἀποθανεῖν, καὶ τραυματισθεὶς, παραλόγως διέφυγεν. Οἱ γὰρ μετὰ Σερτωρίου Λίβυες, ὡς ἔλαβον αὐτοῦ τὸν ἵππον χρυσῷ κεκοσμημένον, καὶ φαλάρων ἀνάπλεων πολυτελῶν, ἐν τῷ διανέμεσθαι καὶ διαφέρεσθαι πρὸς ἀλλήλους, προήκαντο τὴν δίωξιν. Ἀφράνιος δὲ τοὺς ἀνθεστῶτας πρὸς αὐτὸν, ἅμα τῷ Σερτώριον ἀπελθεῖν ἐπὶ θάτερα βοηθοῦντα, τρεψάμενος εἰς τὸ στρατόπεδον κατήραξε· καὶ συνεισπεσὼν, ἐπόρθει σκότους ἤδη ὄντος, μήτε τὴν Πομπηΐου φυγὴν εἰδὼς, μήτε τοὺς στρατιώτας τῆς ἁρπαγῆς ἐπισχεῖν δυνάμενος. Ἐν τούτῳ δὲ Σερτώριος ἀνέστρεφε, τὸ καθ' αὑτὸν νενικηκώς· καὶ τοῖς Ἀφρανίου δι' ἀταξίαν ταρασσομένοις ἐπιπεσὼν, πολλοὺς διέφθειρε. Πρωῒ δ' αὖθις ἐξοπλισθεὶς ἐπὶ

μάχην κατέβαινεν· εἶτα Μέτελλον αἰσθόμενος ἐγγὺς εἶναι, λύσας τὴν τάξιν, ἀνέζευξεν, εἰπών· „Ἀλλ' ἔγωγε τὸν παῖδα τοῦτον, εἰ μὴ παρῆν ἡ γραῦς ἐκείνη, πληγαῖς ἂν νουθετήσας εἰς Ῥώμην ἀπεστάλκειν.“

XX. Ἠθύμει δὲ δεινῶς διὰ τὸ μηδαμοῦ φανερὰν τὴν ἔλαφον ἐκείνην εἶναι. Μηχανῆς γὰρ ἐπὶ τοὺς βαρβάρους ἐστέρητο θαυμαστῆς, τότε δὴ μάλιστα παραμυθίας δεομένους. Εἶτα μέντοι νυκτὸς ἄλλως πλανώμενοί τινες ἐπιτυγχάνουσιν αὐτῇ, καὶ γνωρίσαντες ἀπὸ τῆς χρόας λαμβάνουσιν. Ἀκούσας δ' ὁ Σερτώριος, ἐκείνοις μὲν ὡμολόγησεν, ἂν μηδενὶ φράσωσι, χρήματα πολλὰ δώσειν· ἀποκρύψας δὲ τὴν ἔλαφον, καὶ διαλιπὼν ὀλίγας ἡμέρας, προῄει μάλα φαιδρὸς ἀπ' ὄψεως ἐπὶ τὸ βῆμα, διηγούμενος τοῖς ἡγεμόσι τῶν βαρβάρων, ὡς ἀγαθόν τι μέγα τοῦ θεοῦ προμηνύοντος αὐτῷ κατὰ τοὺς ὕπνους· εἶτ' ἀναβὰς ἐπὶ τὸ βῆμα, τοῖς ἐντυγχάνουσιν ἐχρημάτιζεν. Ἡ δ' ἔλαφος, ὑπὸ τῶν φυλαττόντων αὐτὴν ἐγγὺς ἀφεθεῖσα, καὶ κατιδοῦσα τὸν Σερτώριον, ἐχώρει δρόμῳ περιχαρὴς πρὸς τὸ βῆμα, καὶ παραστᾶσα τὴν κεφαλὴν ἐπέθηκε τοῖς γόνασιν αὐτοῦ, καὶ τῷ στόματι τῆς δεξιᾶς ἔψαυεν, εἰθισμένη καὶ πρότερον τοῦτο ποιεῖν. Ἀντιφιλοφρονουμένου δὲ τοῦ Σερτωρίου πιθανῶς, καί τι καὶ δακρύσαντος, ἔκπληξις εἶχε τοὺς παρόντας τὸ πρῶτον· εἶτα κρότῳ καὶ βοῇ τὸν Σερτώριον, ὡς δαιμόνιον ἄνδρα καὶ θεοῖς φίλον, οἴκαδε προπέμψαντες, ἐν εὐθυμίαις καὶ χρησταῖς ἐλπίσιν ἦσαν.

XXI. Ἐν δὲ τοῖς τῶν Σαγουντίνων πεδίοις εἰς τὰς ἐσχάτας ἀπορίας κατακεκλεικὼς τοὺς πολεμίους, ἠναγκάσθη συμβαλεῖν αὐτοῖς καταβαίνουσιν ἐφ' ἁρπαγὴν καὶ σιτολογίαν. Ἠγωνίσθη δὲ λαμπρῶς παρ' ἀμφοτέρων. Καὶ Μέμμιος μὲν, ὁ τῶν ὑπὸ Πομπηίῳ στρατηγῶν ἡγεμονικώτατος, ἐν τῷ καρτερωτάτῳ τῆς μάχης ἔπεσεν· ἐκράτει δὲ Σερτώριος, καὶ φόνῳ πολλῷ τῶν ἔτι συνεστώτων ἐωθεῖτο πρὸς αὐτὸν τὸν Μέτελλον. Ὁ δὲ, καὶ παρ' ἡλικίαν ὑποστὰς καὶ περιφανῶς ἀγωνιζόμενος, παίεται δόρατι. Τοῦτο τοὺς μὲν ἰδόντας τῶν Ῥωμαίων, τοὺς δ' ἀκούσαντας αἰδὼς ἔσχεν ἐγκαταλιπεῖν τὸν ἡγεμόνα, καὶ θυμὸς ἅμα πρὸς τοὺς πολεμίους παρέστη. Προθέμενοι δὲ τοὺς θυρεοὺς καὶ συνεξενεγκόντες εὐρώστως, ἐξωθοῦσι τοὺς Ἴβηρας· καὶ γενομένης οὕτω παλιντρόπου τῆς νίκης, ὁ Σερτώριος ἐκείνοις τε φυγὰς ἀδεεῖς μηχανώμενος, καὶ τεχνάζων ἑτέραν αὐτῷ δύναμιν συνελθεῖν ἐφ' ἡσυχίας, εἰς πόλιν ὀρεινὴν καὶ καρτερὰν ἀναφυγὼν, ἐφράγνυτο τὰ τείχη, καὶ τὰς πύλας ὠχυροῦτο, πάντα μᾶλλον, ἢ πολιορκίαν, ὑπομένειν διανοούμενος, ἀλλ' ἐξηπάτα τοὺς πολεμίους. Ἐκείνῳ γὰρ προσκαθεζόμενοι, καὶ τὸ χωρίον οὐ χαλεπῶς λήψεσθαι προσδοκῶντες, τούς τε φεύγοντας τῶν βαρβάρων προΐεντο, καὶ τῆς ἀθροιζομένης αὖθις τῷ Σερτωρίῳ δυνάμεως ἠμέλησαν. Ἠθροίζετο δὲ, πέμψαντος ἡγεμόνας ἐπὶ τὰς πόλεις αὐτοῦ, καὶ κελεύοντος, ὅταν ἤδη πολλοὺς ἔχωσιν, ἄγγελον ἀποστεῖλαι πρὸς αὐτόν. Ἐπεὶ δ' ἀπέστειλαν, σὺν οὐδενὶ πόνῳ διεκπαισάμενος τοὺς

πολεμίους, συνέμιξε τοῖς ἑαυτοῦ· καὶ πάλιν ἐπῄει πολὺς γεγονὼς, καὶ περιέκοπτεν αὐτῶν τὴν μὲν ἀπὸ τῆς γῆς εὐπορίαν, ἐνέδραις καὶ κυκλώσεσι, καὶ τῷ πανταχόσε φοιτᾷν, ὀξὺς ἐπιών· τὰ δ' ἐκ θαλάττης, λῃστρικοῖς σκάφεσι κατέχων τὴν παραλίαν. Ὥστ' ἠναγκάσθησαν οἱ στρατηγοὶ διαλυθέντες, ὁ μὲν εἰς Γαλατίαν ἀπελθεῖν, Πομπήϊος δὲ περὶ Βακκαίους διαχειμάσαι μοχθηρῶς ὑπ' ἀχρηματίας, γράφων πρὸς τὴν σύγκλητον, ὡς ἀπάξει τὸν στρατὸν, εἰ μὴ πέμποιεν ἀργύριον αὐτῷ· καταναλωκέναι γὰρ ἤδη τὰ αὐτοῦ, προπολεμῶν τῆς Ἰταλίας. Καὶ πολὺς ἦν οὗτος ἐν Ῥώμῃ λόγος, ὡς Πομπηΐου πρότερος εἰς Ἰταλίαν ἀφίξοιτο Σερτώριος. Εἰς τοσοῦτον τοὺς πρώτους καὶ δυνατωτάτους τῶν τότε στρατηγῶν ἡ Σερτωρίου δεινότης κατέστησεν.

XXII. Ἐδήλωσε δὲ καὶ Μέτελλος, ἐκπεπληγμένος τὸν ἄνδρα καὶ μέγαν ἡγούμενος. Ἐπεκήρυξε γὰρ, εἴ τις αὐτὸν ἀνέλοι Ῥωμαῖος, ἑκατὸν ἀργυρίου τάλαντα δώσειν, καὶ πλέθρα δισμύρια γῆς· εἰ δὲ φυγὰς, κάθοδον εἰς Ῥώμην· ὡς ἀπογνώσει φανερᾶς ἀμύνης ὠνούμενος τὸν ἄνδρα διὰ προδοσίας. Ἔτι δὲ νικήσας ποτὲ μάχῃ τὸν Σερτώριον, οὕτως ἐπήρθη, καὶ τὴν εὐτυχίαν ἠγάπησεν, ὥστ' αὐτοκράτωρ ἀναγορευθῆναι· θυσίαις δ' αὐτὸν αἱ πόλεις ἐπιφοιτῶντα καὶ βωμοῖς ἐδέχοντο. Λέγεται δὲ καὶ στεφάνων ἀναδέσεις προσίεσθαι, καὶ δείπνων σοβαρωτέρων ὑποδοχὰς, ἐν οἷς ἐσθῆτα θριαμβικὴν ἔχων ἔπινε, καὶ νῖκαι πεποιημέναι δι' ὀργάνων ἐπιδρόμων χρυ-



НБ ОНУ імені І.І.Мечникова

σεα τρόπαια καὶ στεφάνους διαφέρουσαι κατήγοντο, καὶ χοροὶ παίδων καὶ γυναικῶν ἐπινικίους ὕμνους ᾖδον εἰς αὐτόν. Ἐφ' οἷς εἰκότως ἦν καταγέλαστος, εἰ δραπέτην Σύλλα, καὶ λείψανον τῆς Κάρβωνος φυγῆς ἀποκαλῶν τὸν Σερτώριον, οὕτω κεχαύνωται καὶ περιχαρὴς γέγονεν, ὑποχωρήσαντος αὐτοῦ περιγενόμενος. Μεγαλοφροσύνης δὲ τοῦ Σερτωρίου πρῶτον μὲν, τὸ τοὺς φεύγοντας ἀπὸ Ῥώμης βουλευτὰς καὶ παρ' αὐτῷ διατρίβοντας σύγκλητον ἀναγορεῦσαι, ταμίας τε καὶ στρατηγοὺς ἐξ ἐκείνων ἀποδεικνύναι, καὶ πάντα τοῖς πατρίοις νόμοις τὰ τοιαῦτα κοσμεῖν· ἔπειτα, τὸ χρώμενον ὅπλοις, καὶ χρήμασι, καὶ πόλεσι ταῖς Ἰβήρων, μηδ' ἄχρι λόγου τῆς ἄκρας ἐξουσίας ὑφίεσθαι πρὸς αὐτοὺς, Ῥωμαίους δὲ καθιστάναι στρατηγοὺς καὶ ἄρχοντας αὐτῶν, ὡς Ῥωμαίοις ἀνακτώμενον τὴν ἐλευθερίαν, οὐκ ἐκείνους αὔξοντα κατὰ Ῥωμαίων. Καὶ γὰρ ἦν ἀνὴρ φιλόπατρις, καὶ πολὺν ἔχων ἵμερον τοῦ κατελθεῖν· ἀλλὰ δυσπραγῶν μὲν ἠνδραγάθει, καὶ ταπεινὸν οὐδὲν ἔπραττε πρὸς τοὺς πολεμίους· ἐν δὲ ταῖς νίκαις διεπέμπετο πρὸς Μέτελλον καὶ πρὸς Πομπήϊον, ἕτοιμος ὢν τὰ ὅπλα καταθέσθαι, καὶ βιοῦν ἰδιώτης καθόδου τυχών· μᾶλλον γὰρ ἐθέλειν ἀσημότατος ἐν Ῥώμῃ πολίτης, ἢ φεύγων τὴν ἑαυτοῦ, πάντων ὁμοῦ τῶν ἄλλων αὐτοκράτωρ ἀναγορεύεσθαι. Λέγεται δ' οὐχ ἥκιστα τῆς πατρίδος ἐπιθυμεῖν διὰ τὴν μητέρα, τραφεὶς ὀρφανὸς ὑπ' αὐτῇ, καὶ τὸ σύμπαν ἀνακείμενος ἐκείνῃ. Καλούντων δὲ τῶν περὶ τὴν Ἰβηρίαν φίλων

αὐτὸν ἐφ' ἡγεμονίᾳ, πυθόμενος τὴν τελευτὴν τῆς μητρὸς, ὀλίγον ἐδέησεν ὑπὸ λύπης προέσθαι τὸν βίον. Ἑπτὰ γὰρ ἡμέρας οὔτε σύνθημα δοὺς, οὔτ' ὀφθεὶς τινι τῶν φίλων ἔκειτο· καὶ μόλις οἱ συστράτηγοι καὶ ὁμότιμοι τὴν σκηνὴν περιστάντες ἠνάγκασαν αὐτὸν προελθόντα, τοῖς στρατιώταις ἐντυχεῖν, καὶ τῶν πραγμάτων εὖ φερομένων ἀντιλαμβάνεσθαι. Διὸ καὶ πολλοῖς ἔδοξεν, ἥμερος ἀνὴρ φύσει γεγονὼς, καὶ πρὸς ἡσυχίαν ἔχων ἐπιεικῶς, δι' αἰτίας παρὰ γνώμην ταῖς στρατηγικαῖς ἀρχαῖς χρῆσθαι, καὶ μὴ τυγχάνων ἀδείας, ἀλλὰ συνελαυνόμενος ὑπὸ τῶν ἐχθρῶν εἰς τὰ ὅπλα, φρουρὰν ἀναγκαίαν τοῦ σώματος περιβαλέσθαι τὸν πόλεμον.

XXIII. Ἦν δὲ καὶ τὰ πρὸς Μιθριδάτην αὐτοῦ πολιτεύματα μεγαλοφροσύνης. Ἐπεὶ γὰρ ἐκ τοῦ κατὰ Σύλλαν σφάλματος ὁ Μιθριδάτης ὥσπερ εἰς πάλαισμα δεύτερον ἀνιστάμενος, αὖθις ἐπεχείρησε τῇ Ἀσίᾳ, μέγα δ' ἤδη τὸ Σερτωρίου κλέος ἐφοίτα πανταχόσε, καὶ τῶν περὶ αὐτοῦ λόγων, ὥσπερ φορτίων ξενικῶν, οἱ πλέοντες ἀπὸ τῆς ἑσπέρας ἀνεπεπλήκεσαν τὸν Πόντον· ὥρμητο διαπρεσβεύσασθαι πρὸς αὐτὸν, ἐπηρμένος μάλιστα ταῖς τῶν κολάκων ἀλαζονείαις, οἳ τὸν μὲν Σερτώριον Ἀννίβᾳ, τὸν δὲ Μιθριδάτην Πύῤῥῳ παρεικάζοντες, οὐκ ἂν ἔφασαν Ῥωμαίους πρὸς τηλικαύτας ὁμοῦ φύσεις τε καὶ δυνάμεις, ἐπιχειρουμένους διχόθεν, ἀντισχεῖν, τοῦ δεινοτάτου στρατηγοῦ τῷ μεγίστῳ τῶν βασιλέων προσγενομένου. Πέμπει δὴ πρέσβεις ὁ Μιθριδάτης εἰς

Ἰβηρίαν, γράμματα Σερτωρίῳ καὶ λόγους κομίζοντας, δι' ὧν αὐτὸς μὲν ἐπηγγέλλετο χρήματα καὶ ναῦς παρέξειν εἰς τὸν πόλεμον, ὑπ' ἐκείνου δ' ἠξίου τὴν Ἀσίαν αὐτῷ βεβαιοῦσθαι πᾶσαν, ἧς ὑπεχώρησε Ῥωμαίοις κατὰ τὰς πρὸς Σύλλαν γενομένας συνθήκας. Ἀθροίσαντος δὲ Σερτωρίου βουλήν, ἣν σύγκλητον ὠνόμαζε, καὶ τῶν ἄλλων δέχεσθαι τὰς προκλήσεις καὶ ἀγαπᾶν κελευόντων, (ὄνομα γὰρ καὶ γράμμα κενὸν αἰτουμένους περὶ τῶν οὐκ ὄντων ἐπ' αὐτοῖς, ἀντὶ τούτων λαμβάνειν, ὧν μάλιστα δεόμενοι τυγχάνουσιν) οὐκ ἠνέσχετο ὁ Σερτώριος, ἀλλὰ Βιθυνίαν μὲν ἔφη καὶ Καππαδοκίαν λαμβάνοντι Μιθριδάτῃ μὴ φθονεῖν, ἔθνη βασιλευόμενα καὶ μηδὲν προσήκοντα Ῥωμαίοις· ἣν δὲ τῷ δικαιοτάτῳ τρόπῳ Ῥωμαίων κεκτημένων ἐπαρχίαν, ἀφελόμενος καὶ κατασχών, πολεμῶν μὲν ἐξέπεσεν ὑπὸ Φιμβρίου, σπενδόμενος δὲ πρὸς Σύλλαν ἀφῆκε, ταύτην οὐκ ἔφη περιόψεσθαι πάλιν ὑπ' ἐκείνῳ γενομένην· δεῖν γὰρ αὔξεσθαι τὴν πόλιν ὑπ' αὐτοῦ κρατοῦντος, οὐκ ἐλαττώσει τῶν ἐκείνης κρατεῖν αὐτόν. Γενναίῳ γὰρ ἀνδρὶ μετὰ τοῦ καλοῦ νικᾶν αἱρετόν· αἰσχρῶς δ' οὐδὲ σώζεσθαι.

XXIV. Ταῦτ' ἀπαγγελθέντα Μιθριδάτης διὰ θάμβους ἐποιεῖτο· καὶ λέγεται μὲν εἰπεῖν πρὸς τοὺς φίλους· „Τί δῆτα προστάξει Σερτώριος ἐν Παλατίῳ καθεζόμενος, εἰ νῦν εἰς τὴν Ἀτλαντικὴν ἐξεωσμένος θάλασσαν, ὅρους ἡμῶν τῇ βασιλείᾳ τίθησι, καὶ πειρωμένοις Ἀσίας ἀπειλεῖ πόλεμον;" Οὐ μὴν ἀλλὰ γίνονταί γε συνθῆκαι καὶ ὅρκοι, Καππαδοκίαν καὶ

НБ ОНУ імені І.І.Мечникова

Βιθυνίαν ἔχειν Μιθριδάτην, Σερτωρίου στρατηγὸν αὐτῷ καὶ στρατιώτας πέμποντος. Σερτώριον δὲ παρὰ Μιθριδάτου λαβεῖν τρισχίλια τάλαντα καὶ τεσσαράκοντα ναῦς. Πέμπεται δὲ καὶ στρατηγὸς εἰς Ἀσίαν ὑπὸ Σερτωρίου τῶν ἀπὸ βουλῆς πεφευγότων πρὸς αὐτὸν, Μάρκος Μάριος· ᾧ συνεξελὼν τινὰς πόλεις τῶν Ἀσιάδων ὁ Μιθριδάτης, εἰσελαύνοντι μετὰ ῥάβδων καὶ πελέκεων αὐτὸς εἵπετο, δευτέραν τάξιν καὶ σχῆμα θεραπεύοντος ἑκουσίως ἀνειληφώς. Ὁ δὲ τὰς μὲν ἠλευθέρου, ταῖς δ' ἀτέλειαν γράφων χάριτι Σερτωρίου κατήγγελλεν· ὥστε τὴν Ἀσίαν αὖθις, ἐνοχλουμένην μὲν ὑπὸ τῶν τελωνῶν, βαρυνομένην δὲ ταῖς πλεονεξίαις καὶ ὑπερηφανίαις τῶν ἐπισκήνων, ἀναπτερωθῆναι πρὸς τὴν ἐλπίδα, καὶ ποθεῖν τὴν προσδοκωμένην μεταβολὴν τῆς ἡγεμονίας.

XXV. Ἐν δ' Ἰβηρίᾳ τῶν περὶ Σερτώριον συγκλητικῶν καὶ ἰσοτίμων, ὡς πρῶτον εἰς ἀντίπαλον ἐλπίδα κατέστησαν, ἐπανέντος τοῦ φόβου, φθόνος ἥπτετο καὶ ζῆλος ἀνόητος τῆς ἐκείνου δυνάμεως. Ἐνῆγε δὲ Περπέννας, δι' εὐγένειαν ἐπαιρόμενος φρονήματι κενῷ πρὸς τὴν ἡγεμονίαν, καὶ λόγους μοχθηροὺς διεδίδου κρύφα τοῖς ἐπιτηδείοις· „Τίς ἄρα πονηρὸς ἡμᾶς ὑπολαβὼν ἐκ κακῶν εἰς χείρονα φέρει δαίμων, οἳ Σύλλα μὲν, ὁμοῦ τι συμπάσης ἄρχοντι γῆς καὶ θαλάττης, ποιεῖν τὸ προσταττόμενον οὐκ ἠξιοῦμεν, οἴκοι μένοντες, δεῦρο δὲ φθαρέντες, ὡς ἐλεύθεροι βιωσόμενοι, δουλεύομεν ἑκουσίως, τὴν Σερτωρίου δορυφοροῦντες φυγὴν, ὄνομα χλευαζόμενον ὑπὸ τῶν ἀκουόντων,

НБ ОНУ імені І.І. Мечникова

σύγκλητος ὄντες, ὕβρεις δὲ καὶ προστάγματα καὶ πόνους οὐκ ἐλάττονας Ἰβήρων καὶ Λυσιτανῶν ὑπομένοντες;“ Τοιούτων ἀναπιμπλάμενοι λόγων οἱ πολλοὶ, φανερῶς μὲν οὐκ ἀφίσταντο, δεδοικότες αὐτοῦ τὴν δύναμιν· κρύφα δὲ τάς τε πράξεις ἐλυμαίνοντο, καὶ τοὺς βαρβάρους ἐκάκουν, κολάζοντες πικρῶς καὶ δασμολογοῦντες, ὡς Σερτωρίου κελεύοντος. Ἐξ ὧν ἀποστάσεις ἐγίνοντο καὶ ταραχαὶ περὶ τὰς πόλεις. Οἱ δὲ πεμπόμενοι ταῦτα θεραπεύειν καὶ ἀποπραΰνειν ἐπανήρχοντο πλείονας ἐξειργασμένοι πολέμους, καὶ τὰς ὑπαρχούσας ηὐξηκότες ἀπειθείας· ὥστε τὸν Σερτώριον ἐκ τῆς προτέρας ἐπιεικείας καὶ πρᾳότητος μεταβαλόντα, περὶ τοὺς ἐν Ὄσκῃ τρεφομένους παρανομῆσαι παῖδας τῶν Ἰβήρων, τοὺς μὲν ἀνελόντα, τοὺς δ᾽ ἀποδόμενον.

XXVI. Ὁ δὲ Περπέννας, πλείονας ἐνωμότους ἔχων πρὸς τὴν ἐπίθεσιν, προσάγεται καὶ Μάλλιον, ἕνα τῶν ἐφ᾽ ἡγεμονίας. Οὗτος ἐρῶν τινος τῶν ἐν ὥρᾳ μειρακίου, καὶ φιλοφρονούμενος πρὸς αὐτὸ φράζει τὴν ἐπιβουλὴν, κελεύων, ἀμελήσαντα τῶν ἄλλων ἐραστῶν, αὐτῷ μόνῳ προσέχειν, ὡς ἐντὸς ἡμερῶν ὀλίγων μεγάλῳ γενησομένῳ. Τὸ δὲ μειράκιον ἑτέρῳ τινὶ τῶν ἐραστῶν, Αὐφιδίῳ, μᾶλλον προσπεπονθὸς, ἐκφέρει τὸν λόγον. Ἀκούσας δ᾽ ὁ Αὐφίδιος ἐξεπλάγη· καὶ γὰρ αὐτὸς μετεῖχε τῆς ἐπὶ Σερτώριον συνωμοσίας, οὐ μέντοι τὸν Μάλλιον ἐγίνωσκε μετέχοντα. Περπένναν δὲ καὶ Γραικῖνον καί τινας ἄλλους, ὧν αὐτὸς ᾔδει συνωμοτῶν, ὀνομάζοντος τοῦ μειρακίου,

διαταραχθεὶς, πρὸς ἐκεῖνον μὲν ἐξεφλαύριζε τὸν λόγον, καὶ παρεκάλει τοῦ Μαλλίου καταφρονεῖν, ὡς κενοῦ καὶ ἀλαζόνος· αὐτὸς δὲ πρὸς τὸν Περπένναν πορευθεὶς, καὶ φράσας τὴν ὀξύτητα τοῦ καιροῦ καὶ τὸν κίνδυνον, ἐκέλευσεν ἐπιχειρεῖν. Οἱ δ᾽ ἐπείθοντο, καὶ παρασκευάσαντες ἄνθρωπον γράμματα κομίζοντα τῷ Σερτωρίῳ προσήγαγον. Ἐδήλου δὲ τὰ γράμματα νίκην τινὸς τῶν ὑπ᾽ αὐτῷ στρατηγῶν, καὶ φόνον πολὺν τῶν πολεμίων. Ἐφ᾽ οἷς τοῦ Σερτωρίου περιχαροῦς ὄντος, καὶ θύοντος εὐαγγέλια, Περπέννας ἑστίασιν αὐτῷ καὶ τοῖς παροῦσι φίλοις (οὗτοι δ᾽ ἦσαν ἐκ τῆς συνωμοσίας) ἐπηγγέλλετο, καὶ πολλὰ λιπαρήσας, ἔπεισεν ἐλθεῖν. Ἀεὶ μὲν οὖν τὰ μετὰ Σερτωρίου δεῖπνα πολλὴν εἶχεν αἰδῶ καὶ κόσμον, οὔτε ὁρᾷν τι τῶν αἰσχρῶν, οὔτ᾽ ἀκούειν, ὑπομένοντος, ἀλλὰ καὶ τοὺς συνόντας εὐτάκτοις καὶ ἀνυβρίστοις παιδιαῖς χρῆσθαι καὶ φιλοφροσύναις ἐθίζοντος. Τότε δὲ, τοῦ πότου μεσοῦντος, ἀρχὴν ἀψιμαχίας ζητοῦντες, ἀναφανδὸν ἀκολάστοις ἐχρῶντο ῥήμασι· καὶ πολλὰ προσποιούμενοι μεθύειν ἠσέλγαινον, ὡς παροξυνοῦντες ἐκεῖνον. Ὁ δ᾽, εἴτε δυσχεραίνων τὴν ἀκοσμίαν, εἴτε τὴν διάνοιαν αὐτῶν τῇ βραδυτῆτι τῆς λαλιᾶς καὶ τῇ παρὰ τὸ εἰωθὸς ὀλιγωρίᾳ συμφρονήσας, μετέβαλε τὸ σχῆμα τῆς κλισίας, ὕπτιον ἀνεὶς ἑαυτὸν, ὡς οὐδὲ προσέχων, οὔτε κατακούων. Ἐπεὶ δ᾽ ὁ Περπέννας, φιάλην τινὰ λαβὼν ἀκράτου, καὶ μεταξὺ πίνων ἀφῆκεν ἐκ τῶν χειρῶν, καὶ ψόφον ἐποίησεν, ὅπερ ἦν αὐτοῖς σύμβολον, Ἀντώνιος ὑπερ-

κατακείμενος παίει τῷ ξίφει τὸν Σερτώριον. Ἀναστρέψαντος δὲ πρὸς τὴν πληγὴν ἐκείνου καὶ συνεξανισταμένου, περιπεσὼν εἰς τὸ στῆθος, κατέλαβε τὰς χεῖρας ἀμφοτέρας, ὥστε μηδ᾽ ἀμυνόμενον, πολλῶν παιόντων, ἀποθανεῖν.

XXVII. Οἱ μὲν οὖν πλεῖστοι τῶν Ἰβήρων εὐθὺς ᾤχοντο, καὶ παρέδωκαν ἑαυτοὺς ἐπιπρεσβευσάμενοι τοῖς περὶ Πομπήϊον καὶ Μέτελλον· τοὺς δὲ συμμείναντας ὁ Περπέννας ἀναλαβὼν ἐπεχείρει τι πράττειν. Χρησάμενος δὲ ταῖς Σερτωρίου παρασκευαῖς, ὅσον ἐνασχημονῆσαι καὶ φανερὸς γενέσθαι μήτ᾽ ἄρχειν, μήτ᾽ ἄρχεσθαι πεφυκὼς, Πομπηΐῳ προσέβαλε· καὶ ταχὺ συντριβεὶς ὑπ᾽ αὐτοῦ, καὶ γενόμενος αἰχμάλωτος, οὐδὲ τὴν ἐσχάτην ὑπέμεινε συμφορὰν ἡγεμονικῶς, ἀλλὰ τῶν Σερτωρίου γραμμάτων κύριος γεγονὼς, ὑπισχνεῖτο Πομπηΐῳ δείξειν ὑπατικῶν ἀνδρῶν καὶ μέγιστον ἐν Ῥώμῃ δυναμένων αὐτογράφους ἐπιστολὰς, καλούντων Σερτώριον εἰς Ἰταλίαν, ὡς πολλῶν ποθούντων τὰ παρόντα κινῆσαι, καὶ μεταβαλεῖν τὴν πολιτείαν. Ἔργον οὖν ὁ Πομπήϊος οὐ νέας φρενὸς, ἀλλ᾽ εὖ μάλα βεβηκυίας καὶ κατηρτυμένης, ἐργασάμενος, μεγάλων ἀπήλλαξε τὴν Ῥώμην φόβων καὶ νεωτερισμῶν. Τὰς μὲν γὰρ ἐπιστολὰς ἐκείνας, καὶ τὰ γράμματα τοῦ Σερτωρίου συναγαγὼν ἅπαντα κατέκαυσεν, οὔτ᾽ ἀναγνοὺς, οὔτ᾽ ἐάσας ἕτερον· αὐτὸν δὲ τὸν Περπένναν κατὰ τάχος ἀνεῖλε, φοβηθεὶς, μὴ, τῶν ὀνομάτων ἐξενεχθέντων πρός τινας, ἀποστάσεις καὶ ταραχαὶ γένωνται. Τῶν δὲ τῷ Περ-

πέννα συνομοσαμένων οἱ μὲν ἐπὶ Πομπήϊον ἀναχθέντες διεφθάρησαν, οἱ δὲ φεύγοντες εἰς Λιβύην ὑπὸ Μαυρουσίων κατηκοντίσθησαν. Διέφυγε δ' οὐδεὶς, πλὴν Αὐφίδιος, ὁ τοῦ Μαλλίου ἀντεραστής. Οὗτος δ' ἢ λαθὼν, ἢ παραμεληθεὶς, ἔν τινι βαρβάρῳ κώμῃ πενόμενος καὶ μισούμενος κατεγήρασεν

---

НБ ОНУ імені І.І.Мечникова

# ΕΥΜΕΝΗΣ.

Εὐμένη δὲ τὸν Καρδιανὸν ἱστορεῖ Δοῦρις πατρὸς μὲν ἁμαξεύοντος ἐν Χεῤῥονήσῳ διὰ πενίαν γενέσθαι, τραφῆναι δ᾽ ἐλευθερίως ἐν γράμμασι καὶ περὶ παλαίστραν· ἔτι δὲ παιδὸς ὄντος αὐτοῦ, Φίλιππον παρεπιδημοῦντα, καὶ σχολὴν ἄγοντα, τὰ τῶν Καρδιανῶν θεάσασθαι παγκράτια μειρακίων, καὶ παλαίσματα παίδων· ἐν οἷς εὐημερήσαντα τὸν Εὐμένη, καὶ φανέντα συνετὸν καὶ ἀνδρεῖον, ἀρέσαι τῷ Φιλίππῳ καὶ ἀναληφθῆναι. Δοκοῦσι δ᾽ εἰκότα λέγειν μᾶλλον οἱ διὰ ξενίαν καὶ φιλίαν πατρῴαν τὸν Εὐμένη λέγοντες ὑπὸ τοῦ Φιλίππου προαχθῆναι. Μετὰ δὲ τὴν ἐκείνου τελευτὴν, οὔτε συνέσει τινὸς, οὔτε πίστει, λείπεσθαι δοκῶν τῶν περὶ Ἀλέξανδρον, ἐκαλεῖτο μὲν ἀρχιγραμματεὺς, τιμῆς δὲ, ὥσπερ οἱ μάλιστα φίλοι καὶ συνήθεις, ἐτύγχανεν, ὥστε καὶ στρατηγὸς ἀποσταλῆναι κατὰ τὴν Ἰνδικὴν ἐφ᾽ ἑαυτοῦ μετὰ δυνάμεως, καὶ τὴν Περδίκκου παραλαβεῖν ἱππαρχίαν, ὅτε Περδίκκας, ἀποθανόντος Ἡφαιστίωνος,

εἰς τὴν ἐκείνου προῆλθε τάξιν. Διὸ καὶ Νεοπτολέμου τοῦ ἀρχιυπασπιστοῦ μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν λέγοντος, ὡς αὐτὸς μὲν ἀσπίδα καὶ λόγχην, Εὐμένης δὲ γραφεῖον ἔχων καὶ πινακίδιον ἠκολούθει, κατεγέλων οἱ Μακεδόνες, μετὰ τῶν ἄλλων καλῶν τὸν Εὐμένη καὶ τῆς κατὰ τὸν γάμον οἰκειότητος ὑπὸ τοῦ βασιλέως εἰδότες ἀξιωθέντα. Βαρσίνην γὰρ τὴν Ἀρταβάζου πρώτην ἐν Ἀσίᾳ γνοὺς ὁ Ἀλέξανδρος, ἐξ ἧς υἱὸν ἔσχεν Ἡρακλέα, τῶν ταύτης ἀδελφῶν, Πτολεμαίῳ μὲν Ἀπάμαν, Εὐμένει δὲ Βαρσίνην ἐξέδωκεν, ὅτε καὶ τὰς ἄλλας Περσίδας διένειμε καὶ συνῴκισε τοῖς ἑταίροις.

II. Οὐ μὴν ἀλλὰ καὶ προσέκρουσε πολλάκις Ἀλεξάνδρῳ, καὶ παρεκινδύνευσε δι' Ἡφαιστίωνα. Πρῶτον μὲν γάρ, Εὐίῳ τῷ αὐλητῇ τοῦ Ἡφαιστίωνος οἰκίαν κατανείμαντος, ἣν οἱ παῖδες ἔτυχον τῷ Εὐμένει προκατειληφότες, ἐλθὼν ὑπ' ὀργῆς πρὸς τὸν Ἀλέξανδρον ὁ Εὐμένης, ἐβόα μετὰ Μέντορος, ὡς αὐλεῖν εἴη κράτιστον, ἢ τραγῳδεῖν, τὰ ὅπλα ῥίψαντας ἐκ τῶν χειρῶν· ὥστ' Ἀλέξανδρον αὐτῷ συναγανακτεῖν καὶ λοιδορεῖσθαι τῷ Ἡφαιστίωνι. Ταχὺ μέντοι μεταπεσών, αὖθις εἶχε τὸν Εὐμένη δι' ὀργῆς, ὡς ὕβρει μᾶλλον πρὸς ἑαυτόν, ἢ παρρησίᾳ πρὸς Ἡφαιστίωνα, χρησάμενον. Ἔπειτα Νέαρχον ἐκπέμπων μετὰ νεῶν ἐπὶ τὴν ἔξω θάλασσαν, ᾔτει χρήματα τοὺς φίλους· οὐ γὰρ ἦν ἐν τῷ βασιλείῳ. Τοῦ δ' Εὐμένους αἰτηθέντος μὲν τριακόσια τάλαντα, δόντος δὲ ἑκατὸν μόνα, καὶ ταῦτα γλίσχρως καὶ μόλις αὐτῷ συνειλέ-

НБ ОНУ ім. І.І. Мечникова

χθαι διὰ τῶν ἐπιτρόπων φάσκοντος, οὐδὲν ἐγκαλέσας, οὐδὲ δεξάμενος, ἐκέλευσε τοὺς παῖδας κρύφα τῇ σκηνῇ τοῦ Εὐμένους πῦρ ἐνεῖναι, βουλόμενος, ἐκκομιζομένων τῶν χρημάτων, λαβεῖν ἐπ' αὐτοφώρῳ ψευδόμενον. Ἔφθη δὲ ἡ σκηνὴ καταφλεχθεῖσα, καὶ μετενόησε τῶν γραμμάτων διαφθαρέντων ὁ Ἀλέξανδρος. Τὸ δὲ συγχυθὲν χρυσίον, ἢ ἀργύριον, ὑπὸ τοῦ πυρὸς ἀνευρέθη πλεῖον, ἢ χιλίων ταλάντων. Ἔλαβε δὲ οὐδὲν, ἀλλὰ καὶ γράψας τοῖς πανταχοῦ σατράπαις καὶ στρατηγοῖς ἀντίγραφα τῶν διεφθαρμένων ἀποστέλλειν, πάντα παραλαμβάνειν ἐκέλευσε τὸν Εὐμένη. Πάλιν δὲ περὶ δωρεᾶς τινος εἰς διαφορὰν καταστὰς πρὸς τὸν Ἡφαιστίωνα, καὶ πολλὰ μὲν ἀκούσας κακῶς, πολλὰ δ' εἰπὼν, τότε μὲν οὐκ ἔλαττον ἔσχε· μετ' ὀλίγον δὲ, τελευτήσαντος Ἡφαιστίωνος, περιπαθῶν ὁ βασιλεὺς, καὶ πᾶσιν, οὓς ἐδόκει ζῶντι μὲν ἐκείνῳ φθονεῖν, ἐπιχαίρειν δὲ τεθνηκότι, τραχέως ὁμιλῶν καὶ χαλεπὸς ὢν, μάλιστα τὸν Εὐμένη δι' ὑποψίας εἶχε, καὶ προὔφερε πολλάκις τὰς διαφορὰς καὶ λοιδορίας ἐκείνας. Ὁ δὲ, πανοῦργος ὢν καὶ πιθανὸς, ἐπεχείρησεν, οἷς ἀπώλλυτο, σώζειν ἑαυτόν. Κατέφυγε γὰρ εἰς τὴν πρὸς Ἡφαιστίωνα φιλοτιμίαν Ἀλεξάνδρου καὶ χάριν, ὑφηγούμενός τε τιμὰς, αἷ μάλιστα κοσμεῖν ἔμελλον τὸν τεθνηκότα, καὶ χρήματα τελῶν εἰς τὴν τοῦ τάφου κατασκευὴν ἀφειδῶς καὶ προθύμως.

III. Ἀποθανόντος δ' Ἀλεξάνδρου, καὶ τῆς φάλαγγος διεστώσης πρὸς τοὺς ἑταίρους, τῇ μὲν γνώμῃ

τούτοις προσένειμεν ἑαυτὸν ὁ Εὐμένης, τῷ δὲ λόγῳ κοινός τις ἦν πρὸς ἀμφοτέρους καὶ ἰδιώτης, ὡς οὐδὲν αὐτῷ προσῆκον, ξένῳ ὄντι, πολυπραγμονεῖν ταῖς Μακεδόνων διαφοραῖς. Καὶ τῶν ἄλλων ἑταίρων ἐκ Βαβυλῶνος ἀνασκευασαμένων, αὐτὸς ὑπολειφθεὶς ἐν τῇ πόλει κατεπράϋνε πολλοὺς τῶν πεζῶν, καὶ πρὸς τὰς διαλύσεις ἡδίους ἐποίησεν. Ἐπεὶ δ' ἀναμιχθέντες ἀλλήλοις οἱ στρατηγοὶ, καὶ καταστάντες ἐκ τῶν πρώτων ταραχῶν, διενέμοντο σατραπείας καὶ στρατηγίας, Εὐμένης λαμβάνει Καππαδοκίαν καὶ Παφλαγονίαν, καὶ τὴν ὑποκειμένην τῇ Ποντικῇ θαλάττῃ, μέχρι Τραπεζοῦντος, οὔπω τότε Μακεδόνων οὖσαν· Ἀριαράθης γὰρ αὐτῆς ἐβασίλευεν. Ἀλλ' ἔδει Λεοννάτον καὶ Ἀντίγονον χειρὶ μεγάλῃ τὸν Εὐμένη κατάγοντας ἀποδεῖξαι τῆς χώρας σατράπην. Ἀντίγονος μὲν οὖν οὐ προσέσχε τοῖς γραφεῖσιν ὑπὸ Περδίκκου, μετέωρος ὢν ἤδη καὶ περιφρονῶν ἁπάντων· Λεοννάτος δὲ κατέβη μὲν ἄνωθεν εἰς Φρυγίαν, ἀναδεξόμενος Εὐμένει τὴν στρατείαν· Ἑκαταίου δὲ, τοῦ Καρδιανῶν τυράννου, συμμίξαντος αὐτῷ, καὶ δεομένου βοηθεῖν μᾶλλον Ἀντιπάτρῳ καὶ Μακεδόνων τοῖς ἐν Λαμίᾳ πολιορκουμένοις, ὥρμητο διαβαίνειν, καὶ τὸν Εὐμένη παρεκάλει, καὶ διήλλαττε πρὸς Ἑκαταῖον. Ἦν γὰρ αὐτοῖς πατρική τις ἐκ πολιτικῶν διαφορῶν ὑποψία πρὸς ἀλλήλους· καὶ πολλάκις ὁ Εὐμένης ἐγεγόνει φανερὸς κατηγορῶν τοῦ Ἑκαταίου τυραννοῦντος, καὶ παρακαλῶν Ἀλέξανδρον ἀποδοῦναι τοῖς Καρδιανοῖς τὴν ἐλευθερίαν. Διὸ καὶ τότε,

НБОНУ імені І.І. Мечникова

τοῦ Εὐμένους παραιτουμένου τὴν ἐπὶ τοὺς Ἕλληνας στρατείαν, καὶ δεδιέναι φάσκοντος Ἀντίπατρον, μήπως Ἑκαταίῳ χαριζόμενος, καὶ πάλαι μισῶν, αὐτὸν ἀνέλῃ, πιστεύσας ὁ Λεοννάτος, οὐδὲν, ὧν ἐφρόνει, πρὸς αὐτὸν ἀπεκρύψατο. Λόγος μὲν γὰρ ἦν ἡ βοήθεια καὶ πρόφασις, ἐγνώκει δὲ διαβὰς εὐθὺς ἀντιποιεῖσθαι Μακεδονίας. Καί τινας ἐπιστολὰς ἔδειξε Κλεοπάτρας, μεταπεμπομένης αὐτὸν εἰς Πέλλαν, ὡς γαμησομένης. Ὁ δ' Εὐμένης, εἴτε τὸν Ἀντίπατρον δεδοικὼς, εἴτε τὸν Λεοννάτον, ἔμπληκτον ὄντα καὶ φορᾶς μεστὸν ἀβεβαίου καὶ ὀξείας, ἀπογνοὺς, νύκτωρ ἀνέζευξε τὴν ἑαυτοῦ λαβὼν ἀποσκευήν. Εἶχε δὲ τριακοσίους μὲν ἱππεῖς, διακοσίους δὲ τῶν παίδων ὁπλοφόρους, ἐν δὲ χρυσοῖς εἰς ἀργυρίου λόγον τάλαντα πεντακισχίλια. Φυγὼν δ' οὕτω πρὸς Περδίκκαν, καὶ τὰ Λεοννάτου βουλεύματα κατειπὼν, εὐθὺς μὲν ἴσχυε μέγα παρ' αὐτῷ, καὶ τοῦ συνεδρίου μετεῖχεν. Ὀλίγον δ' ὕστερον εἰς Καππαδοκίαν κατήχθη μετὰ δυνάμεως, αὐτοῦ Περδίκκου παρόντος καὶ στρατηγοῦντος. Ἀριαράθου δὲ ληφθέντος αἰχμαλώτου, καὶ τῆς χώρας ὑποχειρίου γενομένης, ἀποδείκνυται σατράπης. Καὶ τὰς μὲν πόλεις τοῖς ἑαυτοῦ φίλοις παρέδωκε, καὶ φρουράρχους ἐγκατέστησε, καὶ δικαστὰς ἀπέλιπε, καὶ διοικητὰς, οὓς ἐβούλετο, τοῦ Περδίκκου μηδὲν ἐν τούτοις πολυπραγμονοῦντος. Αὐτὸς δὲ συνανέζευξεν, ἐκεῖνόν τε θεραπεύων, καὶ τῶν βασιλέων ἀπολείπεσθαι μὴ βουλόμενος.

IV. Οὐ μὲν ἀλλ' ὁ Περδίκκας, ἐφ' ἃ μὲν ὡ-

НБ ОНУ імені І.І. Мечникова

μητο, πιστεύων δι' αὐτοῦ προσάξεσθαι, τὰ δὲ ὑπολειπόμενα δεῖσθαι δραστηρίου τε καὶ πιστοῦ φύλακος οἰόμενος, ἀπέπεμψεν ἐκ Κιλικίας τὸν Εὐμένη, λόγῳ μὲν ἐπὶ τὴν ἑαυτοῦ σατραπείαν, ἔργῳ δὲ τὴν ὅμορον Ἀρμενίαν, τεταραγμένην ὑπὸ Νεοπτολέμου, διὰ χειρὸς ἕξοντα. Τοῦτον μὲν οὖν ὁ Εὐμένης, καίπερ ὄγκῳ τινὶ καὶ φρονήματι κενῷ διεφθαρμένον, ἐπειρᾶτο ταῖς ὁμιλίαις κατέχειν· αὐτὸς δὲ τὴν φάλαγγα τῶν Μακεδόνων ἐπηρμένην καὶ θρασεῖαν εὑρών, ὥσπερ ἀντίταγμα παρεσκεύαζεν αὐτῇ δύναμιν ἱππικήν, τῶν μὲν ἐγχωρίων τοῖς ἱππεύειν δυναμένοις ἀνεισφορίας διδοὺς καὶ ἀτελείας, τῶν δὲ περὶ αὐτὸν οἷς μάλιστα ἐπίστευεν, ὠνητοὺς διανέμων ἵππους, φιλοτιμίαις τε καὶ δωρεαῖς τά τε φρονήματα παροξύνων, καὶ τὰ σώματα κινήσεσι καὶ μελέταις διαπονῶν· ὥστε τοὺς μὲν ἐκπλαγῆναι, τοὺς δὲ θαῤῥῆσαι τῶν Μακεδόνων, ὁρῶντας ὀλίγῳ χρόνῳ περὶ αὐτὸν ἠθροισμένους ἱππεῖς οὐκ ἐλάττους ἑξακισχιλίων καὶ τριακοσίων.

V. Ἐπεὶ δὲ Κρατερὸς καὶ Ἀντίπατρος, τῶν Ἑλλήνων περιγενόμενοι, διέβαινον εἰς Ἀσίαν, τὴν Περδίκκου καταλύσοντες ἀρχήν, καὶ προσηγγέλλοντο μέλλοντες ἐμβαλεῖν εἰς Καππαδοκίαν, ὁ Περδίκκας, αὐτὸς ἐπὶ Πτολεμαῖον στρατεύων, ἀπέδειξε τὸν Εὐμένη τῶν ἐν Ἀρμενίᾳ καὶ Καππαδοκίᾳ δυνάμεων αὐτοκράτορα στρατηγόν. Καὶ περὶ τούτων ἐπιστολὰς ἔπεμψεν, Ἀλκέταν μὲν καὶ Νεοπτόλεμον Εὐμένει προσέχειν κελεύσας, Εὐμένη δὲ χρῆσθαι τοῖς πράγμασιν, ὅπως



НБ ОНУ імені І.І. Мечникова

αὐτὸς ἔγνωκεν. Ἀλκέτας μὲν οὖν ἄντικρυς ἀπείπατο τὴν στρατείαν, ὡς τῶν ὑπ' αὐτῷ Μακεδόνων Ἀντιπάτρῳ μὲν αἰδουμένων μάχεσθαι, Κρατερὸν δὲ καὶ δέχεσθαι δι' εὔνοιαν ἑτοίμων ὄντων. Νεοπτόλεμος δὲ, βουλεύων μὲν ἐπ' Εὐμένει προδοσίαν οὐκ ἔλαθε, καλούμενος δ' οὐχ ὑπήκουσεν, ἀλλὰ παρέταττε τὴν δύναμιν. Ἔνθα πρῶτον ὁ Εὐμένης ἀπέλαυσε τῆς ἑαυτοῦ προνοίας καὶ παρασκευῆς· ἡττώμενος γὰρ ἤδη κατὰ τὸ πεζὸν, ἐτρέψατο τοῖς ἱππεῦσι τὸν Νεοπτόλεμον, καὶ τὴν ἀποσκευὴν ἔλαβεν αὐτοῦ, καὶ τῇ φάλαγγι διεσπαρμένῃ περὶ τὴν δίωξιν ἀθρόους ἐπελάσας, ἠνάγκασε τὰ ὅπλα θέσθαι, καὶ λαβόντας ὅρκους αὐτῷ συστρατεύειν. Ὁ μὲν οὖν Νεοπτόλεμος, ὀλίγους τινὰς συναγαγὼν ἐκ τῆς τροπῆς, ἔφυγε πρὸς Κρατερὸν καὶ Ἀντίπατρον. Παρ' ἐκείνων δ' ἀπέσταλτο πρεσβεία πρὸς Εὐμένη, παρακαλοῦσα μεταθέσθαι πρὸς αὐτοὺς, καρπούμενον μὲν, ὅσας εἶχε, σατραπείας, προσλαβόντα δὲ στρατιὰν καὶ χώραν παρ' αὐτῶν, Ἀντιπάτρῳ μὲν ἀντ' ἐχθροῦ φίλον γενόμενον, Κρατερῷ δὲ μὴ γενόμενον ἐκ φίλου πολέμιον. Ταῦτα ὁ Εὐμένης ἀκούσας, Ἀντιπάτρῳ μὲν οὐκ ἂν ἔφη, παλαιὸς ὢν ἐχθρὸς, νῦν γενέσθαι φίλος, ὅτε αὐτὸν ὁρᾷ τοῖς φίλοις ὡς ἐχθροῖς χρώμενον· Κρατερὸν δὲ Περδίκκᾳ διαλλάττειν ἕτοιμος εἶναι, καὶ συνάγειν ἐπὶ τοῖς ἴσοις καὶ δικαίοις· ἄρχοντος δὲ πλεονεξίας, τῷ ἀδικουμένῳ βοηθήσειν, μέχρις ἂν ἐμπνέῃ, καὶ μᾶλλον τὸ σῶμα καὶ τὸν βίον, ἢ τὴν πίστιν, προήσεσθαι.

НБ ОНУ ім. І.І. Мечникова

VI. Οἱ μὲν οὖν περὶ τὸν Ἀντίπατρον, πυθόμενοι ταῦτα, κατὰ σχολὴν ἐβουλεύοντο περὶ τῶν ὅλων· ὁ Νεοπτόλεμος δὲ μετὰ τὴν φυγὴν ἀφικόμενος πρὸς αὐτοὺς, τήν τε μάχην ἀπήγγελλε καὶ παρεκάλει βοηθεῖν, μάλιστα μὲν ἀμφοτέρους, πάντως δὲ Κρατερόν· ποθεῖσθαι γὰρ ὑπερφυῶς ἐκεῖνον ὑπὸ τῶν Μακεδόνων, κἂν μόνον ἴδωσι τὴν καυσίαν αὐτοῦ καὶ τὴν φωνὴν ἀκούσωσι, μετὰ τῶν ὅπλων ἥξειν φερομένους. Καὶ γὰρ ἦν ὄντως ὄνομα τοῦ Κρατεροῦ μέγα, καὶ μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν τοῦτον ἐπόθησαν οἱ πολλοὶ, μνημονεύοντες, ὅτι καὶ πρὸς Ἀλέξανδρον ὑπὲρ αὐτῶν ἀνεδέξατο πολλάκις ἀπεχθείας πολλὰς, ὑποφερομένου πρὸς τὸν Περσικὸν ζῆλον ἀντιλαμβανόμενος, καὶ τοῖς πατρίοις ἀμύνων, διὰ τρυφὴν καὶ ὄγκον ἤδη περιυβριζομένοις. Τότε δ' οὖν ὁ Κρατερὸς τὸν μὲν Ἀντίπατρον εἰς Κιλικίαν ἀπέστειλεν, αὐτὸς δὲ, τῆς δυνάμεως ἀναλαβὼν πολὺ μέρος, ἐπὶ τὸν Εὐμένη μετὰ τοῦ Νεοπτολέμου προσῆγεν, οἰόμενος οὐ προσδεχομένῳ, καὶ μετὰ πρόσφατον νίκην ἐν ἀταξίᾳ καὶ περὶ πότους ἔχοντι τὴν δύναμιν, ἐπιπεσεῖσθαι. Τὸ μὲν οὖν προαισθέσθαι τὴν ἔφοδον αὐτοῦ τὸν Εὐμένη, καὶ προπαρασκευάσασθαι, νηφούσης ἄν τις ἡγεμονίας, οὐ μὴν ἄκρας θείη δεινότητος· τὸ δὲ μὴ μόνον τοὺς πολεμίους, ἃ μὴ καλῶς εἶχεν αἰσθέσθαι, διαφυγεῖν, ἀλλὰ καὶ τοὺς μετ' αὐτοῦ στρατευομένους, ἀγνοοῦντας, ᾧ μαχοῦνται, προενσεῖσαι τῷ Κρατερῷ, καὶ ἀποκρύψαι τὸν ἀντιστράτηγον, ἴδιον δοκεῖ τοῦτο τοῦ ἡγεμόνος ἔργον γε-



НБ ОНУ імені І.І. Мечникова

νέσθαι. Δέδωκε μὲν οὖν λόγον, ὡς Νεοπτόλεμος εὐθὺς ἔπεισι καὶ Πίγρης, ἔχοντες ἱππεῖς Καππαδοκῶν καὶ Παφλαγόνων. Νυκτὸς δ' ἀναζεῦξαι βουλόμενος, εἶτα καταδαρθὼν, ὄψιν εἶδεν ἀλλόκοτον. Ἐδόκει γὰρ ὁρᾷν Ἀλεξάνδρους δύο παρασκευαζομένους ἀλλήλοις μάχεσθαι, μιᾶς ἑκάτερον ἡγούμενον φάλαγγος· εἶτα, τῷ μὲν τὴν Ἀθηνᾶν, τῷ δὲ τὴν Δήμητρα βοηθοῦσαν ἐλθεῖν. Γενομένου δ' ἀγῶνος ἰσχυροῦ, κρατηθῆναι τὸν μετὰ τῆς Ἀθηνᾶς· τῷ δὲ νικῶντι σταχύων δρεπομένην τὴν Δήμητρα συμπλέκειν στέφανον. Αὐτόθεν μὲν οὖν τὴν ὄψιν εἴκαζεν εἶναι πρὸς αὐτοῦ, μαχομένου περὶ γῆς ἀρίστης καὶ τότε πολὺν καὶ καλὸν ἐχούσης ἐν κάλυκι στάχυν. Ἅπασα γὰρ κατέσπαρτο, καὶ παρεῖχεν εἰρήνῃ πρέπουσαν ὄψιν, ἀμφιλαφῶς τῶν πεδίων κομώντων. Μᾶλλον δ' ἐπεῤῥώσθη, πυθόμενος σύνθημα τοῖς πολεμίοις Ἀθηνᾶν καὶ Ἀλέξανδρον εἶναι. Δήμητρα δὲ δὴ καὶ αὐτὸς ἐδίδου σύνθημα καὶ Ἀλέξανδρον, ἀναδεῖσθαί τε πάντας ἐκέλευε, καὶ καταστέφειν τὰ ὅπλα τῶν σταχύων λαμβάνοντας. Ὁρμήσας δὲ πολλάκις ἐξαγορεῦσαι καὶ φράσαι τοῖς περὶ αὐτὸν ἡγεμόσι καὶ στρατηγοῖς, πρὸς ὃν ἔμελλεν ὁ ἀγὼν ἔσεσθαι, καὶ μὴ μόνος ἐν αὑτῷ θέμενος ἀποκρύψαι καὶ κατασχεῖν ἀπόῤῥητον οὕτως ἀναγκαῖον, ὅμως ἐνέμεινε τοῖς λογισμοῖς, καὶ διεπίστευσε τῇ γνώμῃ τὸν κίνδυνον.

VII. Ἀντέταξε δὲ Κρατερῷ Μακεδόνων μὲν οὐδένα, δύο δὲ ἱππαρχίας ξενικὰς, ὧν Φαρνάβαζος ὁ

НБ ОНУ імені І.І.Мечникова

Ἀρταβάζου καὶ Φοῖνιξ ὁ Τενέδιος ἡγοῦντο, διακελευσάμενος, ὀφθέντων τῶν πολεμίων, ἐλαύνειν κατὰ τάχος καὶ συμπλέκεσθαι, μὴ διδόντας ἀναστροφὴν, μηδὲ φωνὴν, μηδὲ κήρυκα πεμπόμενον προσιεμένους. Ἐδεδίει γὰρ ἰσχυρῶς τοὺς Μακεδόνας, μὴ, γνωρίσαντες τὸν Κρατερὸν, οἴχωνται μεταβαλόμενοι πρὸς ἐκεῖνον. Αὐτὸς δὲ, τοὺς ἐῤῥωμενεστάτους ἱππεῖς τριακοσίους εἰς ἄγημα συντάξας, καὶ παρελάσας ἐπὶ τὸ δεξιὸν, ἔμελλε τοῖς περὶ Νεοπτόλεμον ἐπιχειρεῖν. Ὡς δὲ τὸν ἐν μέσῳ λόφον ὑπερβαλόντες ὤφθησαν ὀξεῖαν καὶ μεθ᾽ ὁρμῆς σφοδροτέρας ποιούμενοι τὴν ἔφοδον, ἐκπλαγεὶς ὁ Κρατερὸς, καὶ πολλὰ λοιδορήσας τὸν Νεοπτόλεμον, ὡς ἐξηπατημένος ὑπ᾽ αὐτοῦ περὶ τῆς τῶν Μακεδόνων μεταβολῆς, ἐγκελευσάμενος ἀνδραγαθεῖν τοῖς περὶ αὐτὸν ἡγεμόσιν, ἀντεξήλασε. Γενομένης δὲ τῆς πρώτης συῤῥάξεως βαρείας, καὶ τῶν δοράτων ταχὺ συντριβέντων, τοῦ δ᾽ ἀγῶνος ἐν τοῖς ξίφεσιν ὄντος, οὐ καταισχύνας ὁ Κρατερὸς τὸν Ἀλέξανδρον, ἀλλὰ πολλοὺς μὲν καταβαλὼν, πολλάκις δὲ τρεψάμενος τοὺς ἀντιτεταγμένους, τέλος δὴ πληγεὶς ὑπὸ Θρᾳκὸς ἐκ πλαγίων προσελάσαντος, ἀπεῤῥύη τοῦ ἵππου. Πεσόντα δ᾽ αὐτὸν οἱ μὲν ἄλλοι παρήλασαν ἀγνοοῦντες· Γοργίας δὲ, τῶν Εὐμένους στρατηγῶν, ἔγνω τε, καὶ καταβὰς περιέστησε φρουρὰν τῷ σώματι, κακῶς ἤδη διακειμένου καὶ δυσθανατοῦντος. Ἐν τούτῳ δὲ καὶ Νεοπτόλεμος Εὐμένει συνήχετο. Μισοῦντες γὰρ ἀλλήλους πάλαι καὶ δι᾽ ὀργῆς ἔχοντες, ἐν μὲν δυσὶν

НБ ОНУ імені І.І. Мечникова

ἀναστροφαῖς οὐ κατεῖδον, ἐν δὲ τῇ τρίτῃ γνωρίσαντες εὐθὺς ἤλαυνον, σπασάμενοι τὰ ἐγχειρίδια καὶ βοῶντες. Τῶν δ' ἵππων ἐξ ἐναντίας βίᾳ συμπεσόντων, ὥσπερ τριήρων, τὰς ἡνίας ἀφέντες, ἀλλήλων ἐπελάβοντο ταῖς χερσὶ, τά τε κράνη περισπῶντες, καὶ περιῤῥηγνύντες ἐκ τῶν ἐπωμίδων τοὺς θώρακας. Πρὸς δὲ τὸν σπαραγμὸν ὑπεκδραμόντων ἅμα τῶν ἵππων, ἀποῤῥυέντες εἰς γῆν, καὶ περιπεσόντες ἀλλήλοις, ἐν λαβαῖς ἦσαν καὶ διεπάλαιον. Εἶτα ὁ μὲν Εὐμένης τοῦ Νεοπτολέμου προεξανισταμένου τὴν ἰγνύαν ὑπέκοψεν, αὐτὸς εἰς ὀρθὸν φθάσας καταστῆναι· ὁ δὲ Νεοπτόλεμος εἰς θάτερον ἐρεισάμενος γόνυ, θάτερον δὲ πεπηρωμένος, ἠμύνετο μὲν εὐρώστως κάτωθεν, οὐ θανασίμους δὲ πληγὰς ὑποφέρων· πληγεὶς δὲ παρὰ τὸν τράχηλον, ἔπεσε καὶ παρείθη. Τοῦ δ' Εὐμένους δι' ὀργὴν καὶ μῖσος παλαιὸν τά τε ὅπλα περισπῶντος αὐτοῦ, καὶ κακῶς λέγοντος, ἔτι τὸ ξίφος ἔχων, ἔλαθεν ὑπὸ τὸν θώρακα τρώσας, ᾗ παρέψαυσε τοῦ βουβῶνος ἀποβάς. Ἡ δὲ πληγὴ μᾶλλον ἐφόβησεν, ἢ ἔβλαψε τὸν Εὐμένη, δι' ἀσθένειαν ἀμυδρὰ γενομένη. Σκυλεύσας δὲ τὸν νεκρὸν, εἶχε μὲν χαλεπῶς ὑπὸ τραυμάτων, μηροὺς καὶ βραχίονας διακεκομμένος· ὅμως δ' ἀναβληθεὶς ἐπὶ τὸν ἵππον, ἐδίωκε πρὸς θάτερον κέρας, ὡς ἔτι συνεστώτων τῶν πολεμίων. Πυθόμενος δὲ τὴν Κρατεροῦ τελευτὴν, καὶ προσελάσας, ὡς εἶδεν ἐμπνέοντα καὶ συνιέντα, καταβὰς ἐπεδάκρυσε, καὶ τὴν δεξιὰν ἐνέβαλε, καὶ πολλὰ μὲν ἐλοιδόρησε τὸν Νεοπτόλεμον, πολλὰ δ' ἐκεῖνον μὲν ᾤκτίσατο

НБ ОНУ імені І.І. Мечникова

τῆς τύχης, αὐτὸν δὲ τῆς ἀνάγκης, δι' ἣν ἀνδρὶ φίλῳ καὶ συνήθει, ταῦτα πεισόμενος, ἢ δράσων, συνηνέχθη.

VIII. Ταύτην τὴν μάχην Εὐμένης ἡμέραις δέκα σχεδόν τι μετὰ τὴν προτέραν ἐνίκησε· καὶ δόξῃ μὲν ἤρθη μέγας ἀπ' αὐτῆς, ὡς τὰ μὲν σοφίᾳ, τὰ δ' ἀνδρείᾳ κατειργασμένος, φθόνον δὲ πολὺν ἔσχε καὶ μῖσος ὁμαλῶς παρά τε τοῖς συμμάχοις καὶ τοῖς πολεμίοις, ὡς ἔπηλυς ἀνὴρ καὶ ξένος ὅπλοις καὶ χερσὶ τῶν Μακεδόνων τὸν πρῶτον αὐτῶν καὶ δοκιμώτατον ἀνῃρηκώς. Ἀλλ' εἰ μὲν ἔφθη Περδίκκας πυθόμενος τὴν Κρατεροῦ τελευτὴν, οὐκ ἂν ἄλλος ἐπρώτευσε Μακεδόνων· νυνὶ δ', ἀνῃρημένου Περδίκκου κατὰ στάσιν ἐν Αἰγύπτῳ δυσὶν ἡμέραις πρότερον, ἧκεν οὗτος ὁ περὶ τῆς μάχης λόγος εἰς τὸ στρατόπεδον· καὶ πρὸς ὀργὴν εὐθὺς οἱ Μακεδόνες θάνατον τοῦ Εὐμένους κατέγνωσαν. Ἀπεδείχθη δὲ τοῦ πολέμου τοῦ πρὸς αὐτὸν Ἀντίγονος μετ' Ἀντιπάτρου στρατηγός. Ἐπεὶ δ' Εὐμένης, τοῖς βασιλικοῖς ἱπποφορβίοις περὶ τὴν Ἴδην νεμομένοις ἐπιτυχὼν, καὶ λαβὼν ἵππους, ὅσων ἔχρῃζε, τοῖς ἐπιμεληταῖς τὴν γραφὴν ἔπεμψε, λέγεται γελάσαι τὸν Ἀντίπατρον, καὶ εἰπεῖν, ὅτι θαυμάζει τὸν Εὐμένη τῆς προνοίας, ἐλπίζοντα λόγον αὐτοῖς ἀποδώσειν τῶν βασιλικῶν, ἢ λήψεσθαι παρ' αὐτῶν. Περὶ δὲ τὰς Σάρδεις ἐβούλετο μὲν ἱπποκρατῶν ὁ Εὐμένης τοῖς Λυδοῖς ἐναγωνίσασθαι πεδίοις, ἅμα καὶ τῇ Κλεοπάτρᾳ τὴν δύναμιν ἐπιδεῖξαι φιλοτιμούμενος. Αὐτῆς δ' ἐκείνης δεηθείσης, (ἐφοβεῖτο γὰρ αἰτίαν τινὰ λαβεῖν ὑπὸ τῶν περὶ

НБ ОНУ імені І.І. Мечникова

τὸν Ἀντίπατρον) ἐξήλασεν εἰς τὴν ἄνω Φρυγίαν, καὶ διεχείμαζεν ἐν Κελαιναῖς· ὅπου τῶν μὲν περὶ τὸν Ἀλκέταν καὶ Πολέμωνα καὶ Δόκιμον ὑπὲρ ἡγεμονίας διαφιλοτιμουμένων πρὸς αὐτόν· Τοῦτ' ἦν, ἔφη, τὸ λεγόμενον, Ὀλέθρου δ' οὐθεὶς λόγος. Τοῖς δὲ στρατιώταις ὑποσχόμενος ἐν τρισὶν ἡμέραις τὸν μισθὸν ἀποδώσειν, ἐπίπρασκεν αὐτοῖς τὰς κατὰ τὴν χώραν ἐπαύλεις καὶ τετραπυργίας σωμάτων καὶ βοσκημάτων γεμούσας. Ὁ δὲ πριάμενος ἡγεμὼν τάγματος, ἢ ξεναγὸς, ὄργανα καὶ μηχανὰς λαβὼν, τοῦ Εὐμένους παρέχοντος, ἐξεπολιόρκει, καὶ πρὸς τὸν ὀφειλόμενον μισθὸν οἱ στρατιῶται διενέμοντο τῶν ἁλισκομένων ἕκαστον. Ἐκ δὴ τούτου πάλιν ὁ Εὐμένης ἠγαπᾶτο, καί ποτε γραμμάτων ἐν τῷ στρατοπέδῳ φανέντων, ἃ διέῤῥιψαν οἱ τῶν πολεμίων ἡγεμόνες, ἑκατὸν τάλαντα καὶ τιμὰς διδόντες τῷ κτείναντι τὸν Εὐμένη, σφόδρα παρωξύνθησαν οἱ Μακεδόνες· καὶ δόγμα ποιοῦνται, χιλίους τῶν ἡγεμονικῶν περὶ αὐτὸν ἀεὶ δορυφοροῦντας εἶναι, καὶ φυλάττειν ἐν περιόδῳ καὶ παρανυκτερεύειν. Οἱ δ' ἐπείθοντο, καὶ τιμὰς ἠγάπων παρ' αὐτοῦ λαμβάνοντες, ἃς οἱ φίλοι παρὰ τῶν βασιλέων. Ἐξῆν γὰρ Εὐμένει καὶ καυσίας ἁλουργεῖς καὶ χλαμύδας διανέμειν, ἥτις ἦν δωρεὰ βασιλικωτάτη παρὰ Μακεδόσι.

IX. Τὸ μὲν οὖν εὐτυχεῖν καὶ τοὺς φύσει μικροὺς συνεπικουφίζει τοῖς φρονήμασιν, ὥστε φαίνεσθαί τι μέγεθος περὶ αὐτοὺς καὶ ὄγκον, ἐκ πραγμάτων ὑπερεχόντων ἀποβλεπομένους. Ὁ δὲ ἀληθῶς μεγαλόφρων

НБ ОНУ імені І.І. Мечникова

καὶ βέβαιος, ἐν τοῖς σφάλμασι μᾶλλον καὶ ταῖς δυσημερίαις ἀναφέρων, γίνεται κατάδηλος, ὥσπερ Εὐμένης. Πρῶτον μὲν γὰρ ἐν Ὀρκυνίοις τῆς Καππαδοκίας ἡττηθεὶς ὑπ' Ἀντιγόνου διὰ προδοσίαν, καὶ διωκόμενος, οὐ παρῆκε τὸν προδότην ἐκ τῆς φυγῆς διαπεσεῖν πρὸς τοὺς πολεμίους, ἀλλὰ συλλαβὼν ἐκρέμασε. Φεύγων δὲ, τὴν ἐναντίαν ὁδὸν τοῖς διώκουσι μετέβαλε λαθὼν, καὶ παραλλάξας, ὡς ἦλθεν ἐπὶ τὸν τόπον, οὗ τὴν μάχην συνέβη γενέσθαι, κατεστρατοπέδευσε, καὶ συναγαγὼν τοὺς νεκροὺς, τῶν ἐν κύκλῳ κωμῶν τὰ θυρώματα κατασχίσας, ἔκαυσεν, ἰδίᾳ μὲν ἡγεμόνας, ἰδίᾳ δὲ τοὺς πολλοὺς, καὶ πολυάνδρια χώσας ἀπῆλθεν· ὥστε καὶ τὸν Ἀντίγονον ὕστερον ἐπελθόντα θαυμάζειν τὸ θάρσος αὐτοῦ καὶ τὴν εὐστάθειαν. Ἔπειτα ταῖς ἀποσκευαῖς τοῦ Ἀντιγόνου περιπεσὼν, καὶ λαβεῖν ῥᾳδίως δυνάμενος πολλὰ μὲν ἐλεύθερα σώματα, πολλὴν δὲ θεραπείαν, καὶ πλοῦτον ἐκ πολέμων τοσούτων καὶ λεηλασιῶν ἠθροισμένον, ἔδεισε, μὴ καταπλησθέντες ὠφελείας καὶ λαφύρων οἱ σὺν αὐτῷ βαρεῖς γένωνται πρὸς τὴν φυγὴν, καὶ μαλακώτεροι τὰς πλάνας ὑπομένειν, καὶ τὸν χρόνον, ἐν ᾧ μάλιστα τοῦ πολέμου τὰς ἐλπίδας εἶχεν, ὡς ἀποστρέψων τὸν Ἀντίγονον. Ἐπεὶ δ' ἄντικρυς χαλεπὸν ἦν ἀποτρέπειν Μακεδόνας χρημάτων ἐν ἐφικτῷ παρόντων, ἐκέλευσε θεραπεύσαντας αὑτοὺς καὶ τοῖς ἵπποις χιλὸν ἐμβαλόντας, οὕτω βαδίζειν ἐπὶ τοὺς πολεμίους. Αὐτὸς δὲ πέμπει κρύφα πρὸς τὸν ἐπὶ τῆς ἀποσκευῆς τῶν πολεμίων Μένανδρον, ὡς κηδό-

НБ ОНУ імені І.І. Мечникова

μενος αὐτοῦ, φίλου γεγονότος καὶ συνήθους, φυλάξασθαι παραινῶν, καὶ ἀναχωρῆσαι τὴν ταχίστην ἐκ τῶν ἐπιδρόμων καὶ πεδινῶν πρὸς τὴν ἐγγὺς ὑπώρειαν, ἄφιππον οὖσαν καὶ κυκλώσεις οὐκ ἔχουσαν. Τοῦ δὲ Μενάνδρου ταχὺ συμφρονήσαντος τὸν κίνδυνον καὶ ἀνασκευασαμένου, κατασκόπους ἔπεμπεν ὁ Εὐμένης φανερῶς, καὶ παρήγγειλε τοῖς στρατιώταις ὁπλίζεσθαι, καὶ τοὺς ἵππους ἐγχαλινοῦν, ὡς προσάξων τοῖς πολεμίοις. Τῶν δὲ κατασκόπων ἀπαγγειλάντων, ὅτι παντάπασαν ὁ Μένανδρος ἄληπτος εἴη, καταπεφευγὼς εἰς τόπους χαλεποὺς, ἄχθεσθαι προσποιούμενος ὁ Εὐμένης ἀπῆγε τὴν στρατιάν. Λέγεται δὲ, τοῦ Μενάνδρου ταῦτα μαρτυρήσαντος πρὸς τὸν Ἀντίγονον, καὶ τῶν Μακεδόνων ἐπαινούντων τὸν Εὐμένη, καὶ φιλανθρωπότερον διατεθέντων, ὅτι καὶ παῖδας αὐτῶν ἀνδραποδίσασθαι καὶ γυναῖκας αἰσχῦναι παρὸν, ἐφείσατο καὶ παρῆκεν· Ἀλλ᾽ ἐκεῖνος, φάναι τὸν Ἀντίγονον, οὐχ ὑμῶν, ὦ μακάριοι, κηδόμενος παρῆκεν, ἀλλ᾽ αὑτῷ φεύγοντι δεδιὼς περιθεῖναι πέδας τοσαύτας.

X. Ἐκ τούτου πλανώμενος ὁ Εὐμένης καὶ ὑποφεύγων, ἔπεισε τοὺς πολλοὺς τῶν στρατιωτῶν ἀπελθεῖν, εἴτε κηδόμενος αὐτῶν, εἴτ᾽ ἐφέλκεσθαι μὴ βουλόμενος ἐλάττονας μὲν τοῦ μάχεσθαι, πλείονας δὲ τοῦ λανθάνειν ὄντας. Καταφυγὼν δ᾽ εἰς Νῶρα, χωρίον ἐν μεθορίῳ Λυκαονίας καὶ Καππαδοκίας, μετὰ πεντακοσίων ἱππέων καὶ διακοσίων ὁπλιτῶν· κἀντεῦθεν αὖθις, ὅσοι τῶν φίλων ἐδεήθησαν ἀφεθῆναι,

τοῦ χωρίου τὴν χαλεπότητα καὶ τῆς διαίτης τὴν ἀνάγκην οὐ φέροντες, πάντας, ἀσπασάμενος καὶ φιλοφρονηθεὶς ἀπέπεμψεν. Ὡς δ' ἐπελθὼν ὁ Ἀντίγονος εἰς λόγους αὐτὸν ἐκάλει πρὸ τῆς πολιορκίας, ἀπεκρίνατο, πολλοὺς εἶναι τοὺς Ἀντιγόνου φίλους, καὶ μετ' Ἀντίγονον ἡγεμόνας· ὧν δ' αὐτὸς προπολεμεῖ, μηδένα λείπεσθαι μετ' αὐτόν. Ὁμήρους δὲ πέμπειν ἐκέλευσεν, εἰ χρῄζει διὰ λόγων αὐτῷ γενέσθαι. Τοῦ δ' Ἀντιγόνου κελεύοντος, ὡς κρείττονι λαλεῖν· Οὐδένα, εἶπεν, ἐμαυτοῦ κρείττονα νομίζω, μέχρις ἂν ὦ τοῦ ξίφους κύριος. Ὅμως δὲ, πέμψαντος τοῦ Ἀντιγόνου τὸν ἀδελφιδοῦν Πτολεμαῖον εἰς τὸ χωρίον, ὥσπερ ἠξίωσεν ὁ Εὐμένης, κατέβη, καὶ περιβαλόντες ἀλλήλους ἠσπάσαντο φιλικῶς καὶ οἰκείως, ἅτε δὴ ἀλλήλοις κεχρημένοι πολλὰ, καὶ συνήθεις γεγονότες. Λόγων δὲ γενομένων πολλῶν, καὶ τοῦ Εὐμένους οὐχ ὑπὲρ ἀσφαλείας μεμνημένου καὶ διαλύσεως, ἀλλὰ καὶ τὰς σατραπείας ἀξιοῦντος αὐτῷ βεβαιοῦσθαι, καὶ τὰς δωρεὰς ἀποδίδοσθαι, θαῦμα τοὺς παρόντας εἶχε, τὸ φρόνημα καὶ τὴν εὐτολμίαν ἀγαμένους. Ἅμα δὲ πολλοὶ συνέτρεχον τῶν Μακεδόνων, ἰδεῖν, ὅστις ἐστὶ, τὸν Εὐμένη ποθοῦντες. Οὐ γὰρ ἑτέρου λόγος ἦν τοσοῦτος ἐν τῷ στρατῷ μετὰ τὴν τοῦ Κρατεροῦ τελευτήν. Δείσας δ' ὁ Ἀντίγονος ὑπὲρ αὐτοῦ, μή τι πάθῃ βίαιον, πρῶτον μὲν ἀπηγόρευε μὴ προσιέναι βοῶν, καὶ τοῖς λίθοις ἔβαλλε τοὺς ἐπιφερομένους· τέλος δὲ, ταῖς χερσὶ τὸν Εὐμένη περιβαλὼν, καὶ τὸν ὄχλον ἀπερύκων τοῖς δορυφόροις, μόλις εἰς τὸ ἀσφαλὲς ἀποκατέστησεν.

XI. Τοὐντεῦθεν ὁ μὲν περιτειχίσας τὰ Νῶρα, καὶ φρουρὰν καταλιπὼν, ἀνέζευξεν· Εὐμένης δὲ πολιορκούμενος, ἐγκρατὴς τοῦ χωρίου γεγονὼς, σῖτον καὶ ὕδωρ ἄφθονον καὶ ἅλας, ἄλλο δὲ μηδὲν ἔχοντος ἐδώδιμον, μηδ᾽ ἥδυσμα πρὸς τὸν σῖτον, ἐκ τῶν παρόντων ὅμως κατεσκεύαζε τοῖς συνοῦσιν ἱλαρὰν τὴν δίαιταν, ἐν μέρει τε παραλαμβάνων πάντας ἐπὶ τὴν αὐτοῦ τράπεζαν, καὶ τὸ συσσίτιον ὁμιλίᾳ, χάριν ἐχούσῃ καὶ φιλοφροσύνην, ἐφηδύνων. Ἦν δὲ καὶ τὸ εἶδος ἡδὺς, οὐ πολεμικῷ καὶ τετριμμένῳ δι᾽ ὅπλων ἐοικὼς, ἀλλὰ γλαφυρὸς καὶ νεοπρεπὴς, καὶ πᾶν τὸ σῶμα διηρθρωμένος, ὡς ὑπὸ τέχνης ἀκριβῶς, τοῖς μέλεσι θαυμαστὴν συμμετρίαν ἔχουσιν. Εἰπεῖν δ᾽ οὐ δεινὸς, αἱμύλος δὲ καὶ πιθανὸς, ὡς ἐκ τῶν ἐπιστολῶν συμβάλλειν ἐστίν. Ἐπεὶ δὲ τοὺς σὺν αὐτῷ πολιορκουμένους ἡ στενοχωρία μάλιστα πάντων ἔβλαπτεν, ἐν οἰκήμασι μικροῖς, καὶ τόπῳ δυοῖν σταδίοιν ἔχοντι τὴν περίμετρον, ἀναστρεφομένους, τροφὴν δ᾽ ἀγυμνάστους μὲν αὐτοὺς λαμβάνοντας, ἀργοῖς δὲ τοῖς ἵπποις προσφέροντας· οὐ μόνον τὸν ἄλυν αὐτῶν, ὑπὸ τῆς ἀπραξίας μαραινομένων, ἀπαλλάξαι βουλόμενος, ἀλλὰ καὶ πρὸς φυγὴν, εἰ παραπέσοι καιρὸς, ἀμωσγέπως ἠσκημένοις χρήσασθαι, τοῖς μὲν ἀνθρώποις οἶκον, ὃς ἦν μέγιστος ἐν τῷ χωρίῳ, δεκατεσσάρων πηχῶν τὸ μῆκος, ἀπέδειξε περίπατον, κατὰ μικρὸν ἐπιτείνειν τὴν κίνησιν κελεύων· τῶν δ᾽ ἵππων ἕκαστον ῥυτῆρσι μεγάλοις εἰς τὴν ὀροφὴν ἀναδεδεμένοις, ὑποζώσας ἐκ τῶν περὶ τὸν αὐχένα μερῶν, ἐμετεώριζε,

НБ ОНУ імені І.І. Мечникова

καὶ παρήγειρε διὰ τροχιλίας, ὥστε τοῖς μὲν ὀπισθίοις σκέλεσιν ἐπὶ τῆς γῆς ἐρείδεσθαι, τοῖς δ' ἐμπροσθίοις ποσὶν ἀκρωνύχους ἐπιψαύειν. Οὕτω δὴ ἀνηρτημένους οἱ ἱπποκόμοι παρεστῶτες, ἅμα ταῖς τε κραυγαῖς καὶ ταῖς μάστιξιν ἐπηρέθιζον· οἱ δὲ, πιμπλάμενοι θυμοῦ καὶ ὀργῆς, τοῖς μὲν ὀπισθίοις ἐνήλλοντο καὶ διεσκίρτων σκέλεσι, τοῖς δὲ μετεώροις ἐφιέμενοι στηρίξασθαι, καὶ κροτοῦντες τὸ ἔδαφος, κατετείνοντο πᾶν τὸ σῶμα, καὶ πολὺν ἠφίεσαν ἱδρῶτα καὶ στεναγμὸν, οὔτε πρὸς τάχος, οὔτε πρὸς ῥώμην, γυμναζόμενοι κακῶς. Τὰς δὲ κριθὰς ἐνέβαλλον αὐτοῖς ἐπτισμένας, ἵνα κατεργάζωνται θᾶττον καὶ πέττωσι βέλτιον.

XII. Ἤδη δὲ τῆς πολιορκίας χρόνον λαμβανούσης, Ἀντίγονος τεθνηκέναι πυνθανόμενος Ἀντίπατρον ἐν Μακεδονίᾳ, καὶ τεταράχθαι τὰ πράγματα, Κασάνδρου καὶ Πολυπέρχοντος διαφερομένων, οὐδὲν ἔτι μικρὸν ἐλπίζων, ἀλλὰ τῇ γνώμῃ τὴν ὅλην περιβαλλόμενος ἡγεμονίαν, ἐβούλετο τὸν Εὐμένη φίλον ἔχειν καὶ συνεργὸν ἐπὶ τὰς πράξεις. Διὸ πέμψας Ἱερώνυμον, ἐσπένδετο τῷ Εὐμένει, προτείνας ὅρκον, ὃν ὁ Εὐμένης διορθώσας, ἐπέτρεψεν ἐπικρῖναι τοῖς πολιορκοῦσιν αὐτὸν Μακεδόσι, πότερος εἴη δικαιότερος. Ἀντίγονος μὲν γὰρ ἀφοσιώσεως ἕνεκεν ἐν ἀρχῇ τῶν βασιλέων ἐπιμνησθεὶς, τὸν λοιπὸν ὅρκον εἰς ἑαυτὸν ὥρκιζεν· Εὐμένης δὲ πρώτην μὲν ἐνέγραψε τοῖς ὅρκοις Ὀλυμπιάδα μετὰ τῶν βασιλέων· ἔπειτα ὤμνυεν, οὐκ Ἀντιγόνῳ μόνον εὐνοή-

σειν, οὐδ᾽ ἐκείνῳ τὸν αὐτὸν ἐχθρὸν ἕξειν καὶ φίλον, ἀλλὰ καὶ Ὀλυμπιάδι καὶ τοῖς βασιλεῦσιν. Ὧν δικαιοτέρων φανέντων, οἱ Μακεδόνες, ταῦτα ὁρκίσαντες τὸν Εὐμένη, τὴν πολιορκίαν ἔλυσαν, καὶ πρὸς τὸν Ἀντίγονον ἀπέστελλον, ὅπως καὶ αὐτὸς ἀποδῷ τῷ Εὐμένει τὸν ὅρκον. Ἐν τούτῳ δ᾽ Εὐμένης ὅσους εἶχεν ἐν Νώροις τῶν Καππαδοκῶν ὁμήρους ἀπεδίδου, λαμβάνων ἵππους καὶ ὑποζύγια καὶ σκηνὰς παρὰ τῶν κομιζομένων, καὶ συνῆγε τῶν στρατιωτῶν ὅσοι διασπαρέντες ἀπὸ τῆς φυγῆς ἐπλανῶντο κατὰ τὴν χώραν· ὥστε περὶ αὐτὸν ἱππεῖς ὀλίγῳ τῶν χιλίων ἀποδέοντας γενέσθαι. Μεθ᾽ ὧν ἐξελάσας ἔφυγεν, ὀρθῶς φοβηθεὶς τὸν Ἀντίγονον. Οὐ γὰρ μόνον ἐκεῖνον ἐκέλευσε πολιορκεῖν αὖθις περιτειχίσαντας, ἀλλὰ καὶ τοῖς Μακεδόσι πικρῶς ἀντέγραψε, δεξαμένοις τοῦ ὅρκου τὴν διόρθωσιν.

XIII. Φεύγοντι δ᾽ Εὐμένει γράμματα κομίζεται παρὰ τῶν ἐν Μακεδονίᾳ τὴν Ἀντιγόνου δεδοικότων αὔξησιν, Ὀλυμπιάδος μὲν παρακαλούσης ἐλθόντα τὸ Ἀλεξάνδρου παιδίον παραλαβεῖν καὶ τρέφειν, ὡς ἐπιβουλευόμενον, Πολυπέρχοντος δὲ καὶ Φιλίππου τοῦ βασιλέως κελευόντων Ἀντιγόνῳ πολεμεῖν, τῆς ἐν Καππαδοκίᾳ δυνάμεως ἄρχοντα, καὶ τῶν ἐν Κουΐνδοις χρημάτων πεντακόσια μὲν τάλαντα λαβεῖν εἰς τὴν τῶν ἰδίων ἐπανόρθωσιν, εἰς δὲ τὸν πόλεμον ὁπόσοις βούλεται χρῆσθαι. Περὶ δὲ τούτων καὶ Ἀντιγένει καὶ Τευτάμῳ, τοῖς τῶν ἀργυρασπίδων ἡγουμένοις, ἐγεγράφεισαν. Ἐπεὶ δὲ λαβόν-

НБ ОНУ імені І.І. Мечникова

τες ἐκεῖνοι τὰ γράμματα, τῷ μὲν λόγῳ φιλανθρώπως ἐδέξαντο τὸν Εὐμένη, φθόνου δὲ καὶ φιλονεικίας ἐφαίνοντο μεστοί, δευτερεύειν ἀπαξιοῦντες ἐκείνῳ· τὸν μὲν φθόνον ὁ Εὐμένης ἐθεράπευε τῷ τὰ χρήματα μὴ λαβεῖν, ὡς οὐδὲν δεόμενος, ταῖς δὲ φιλονεικίαις καὶ φιλαρχίαις αὐτῶν, μήθ' ἡγεῖσθαι δυναμένων, μήθ' ἕπεσθαι βουλομένων, ἐπῆγε δεισιδαιμονίαν. Ἔφη γάρ, Ἀλέξανδρον αὐτῷ κατὰ τοὺς ὕπνους φανῆναι, καὶ δεῖξαί τινα σκηνὴν κατεσκευασμένην βασιλικῶς, καὶ θρόνον ἐν αὐτῇ κείμενον· εἶτ' εἰπεῖν, ὡς ἐνταῦθα συνεδρεύουσιν αὐτοῖς καὶ χρηματίζουσιν αὐτὸς παρέσται, καὶ συνεφάψεται βουλῆς τε πάσης καὶ πράξεως ἀρχομένοις ἀπ' αὐτοῦ. Ταῦτα ῥᾳδίως ἔπεισε τὸν Ἀντιγένη καὶ τὸν Τεύταμον, οὔτ' ἐκείνων βαδίζειν βουλομένων πρὸς αὐτόν, οὔτε αὐτὸς ἀξιῶν ἐπὶ θύραις ἑτέρων ὁρᾶσθαι. Καὶ τιθέντες οὕτω σκηνὴν βασιλικὴν καὶ θρόνον Ἀλεξάνδρῳ καταπεφημισμένον, ἐκεῖ συνεπορεύοντο βουλευόμενοι περὶ τῶν μεγίστων. Ἐπεὶ δὲ προϊοῦσιν αὐτοῖς εἰς τὴν ἄνω χώραν ὁ Πευκέστας μετὰ τῶν ἄλλων σατραπῶν ἀπήντησε, φίλος ὤν, καὶ συνεμίξαντο τὰς δυνάμεις, πλήθει μὲν ὅπλων καὶ λαμπρότητι παρασκευῆς ἐπέῤῥωσαν τοὺς Μακεδόνας, αὐτοὶ δ', ἀνάγωγοι ταῖς ἐξουσίαις, καὶ μαλακοὶ ταῖς διαίταις γεγονότες μετὰ τὴν Ἀλεξάνδρου τελευτήν, καὶ φρονήματα τυραννικὰ καὶ τεθραμμένα βαρβαρικαῖς ἀλαζονείαις ἐπὶ ταὐτὸ συνενεγκάμενοι, πρὸς μὲν ἀλλήλους βαρεῖς ἦσαν καὶ δυσάρμοστοι, τοὺς δὲ Μακεδόνας κολακεύοντες ἐκκεχυμένως, καὶ

καταχορηγοῦντες εἰς δεῖπνα καὶ θυσίας, ὀλίγου χρόνου τὸ στρατόπεδον ἀσωτίας πανηγυριζούσης καταγώγιον ἐποίησαν, καὶ δημαγωγούμενον ἐπὶ αἱρέσει στρατηγῶν ὄχλον, ὥσπερ ἐν ταῖς δημοκρατίαις. Αἰσθόμενος δ' ὁ Εὐμένης αὐτοὺς ἀλλήλων μὲν καταφρονοῦντας, αὐτὸν δὲ φοβουμένους, καὶ παραφυλάττοντας ἀνελεῖν, εἰ γένοιτο καιρὸς, ἐσκήψατο χρημάτων δεῖσθαι· καὶ συνεδανείσατο τάλαντα πολλὰ παρὰ τῶν μάλιστα μισούντων αὐτὸν, ἵνα καὶ πιστεύωσι, καὶ ἀπέχωνται περὶ τῶν δανείων ἀγωνιῶντες. Ὥστε συνέβη τὸν ἀλλότριον πλοῦτον αὐτῷ φύλακα τοῦ σώματος ἔχειν, καὶ τῶν ἄλλων ἐπὶ σωτηρίᾳ διδόντων, μόνον ἐκ τοῦ λαβεῖν κτήσασθαι τὴν ἀσφάλειαν.

XIV. Οὐ μὴν ἀλλ' οἱ Μακεδόνες, ἀδείας μὲν οὔσης, ἐφθείροντο πρὸς τοὺς διδόντας, καὶ τὰς ἐκείνων θύρας ἐθεράπευον, δορυφορουμένων καὶ στρατηγιώντων· ἐπεὶ δ' Ἀντίγονος αὐτοῖς παρεστρατοπέδευσε μετὰ πολλῆς δυνάμεως, καὶ τὰ πράγματα φωνὴν ἀφιέντα τὸν ἀληθινὸν ἐκάλει στρατηγὸν, οὐ μόνον οἱ στρατευόμενοι τῷ Εὐμένει προςεῖχον, ἀλλὰ καὶ τῶν ἐν εἰρήνῃ καὶ τρυφῇ μεγάλων ἐκείνων ἕκαστος ἐνέδωκε, καὶ παρεῖχεν ἑαυτὸν σιωπῇ τὴν δοθεῖσαν φυλάττοντα τάξιν. Καὶ γάρ τοι περὶ τὸν Πασιτίγριν ποταμὸν ἐπιχειρήσαντα διαβαίνειν τὸν Ἀντίγονον, οἱ μὲν ἄλλοι παραφυλάττοντες οὐδ' ᾔσθοντο, μόνος δ' Εὐμένης ὑπέστη, καὶ συνάψας μάχην, πολλοὺς μὲν κατέβαλε, καὶ νεκρῶν ἐνέπλησε τὸ ῥεῖ-

НБ ОНУ імені І. І. Мечникова

θρον, ἔλαβε δὲ τετρακισχιλίους αἰχμαλώτους. Μάλιστα δ' οἱ Μακεδόνες περὶ τὴν συμβᾶσαν ἀῤῥωστίαν αὐτῷ καταφανεῖς ἐγένοντο, τοὺς μὲν ἄλλους ἑστιᾶν λαμπρῶς καὶ πανηγυρίζειν, ἄρχειν δὲ καὶ πολεμεῖν δυνατὸν ἡγούμενοι μόνον ἐκεῖνον. Ὁ μὲν γὰρ Πευκέστας ἐν τῇ Περσικῇ λαμπρῶς αὐτοὺς ἑστιάσας, καὶ κατ' ἄνδρα διαδοὺς ἱερεῖον εἰς θυσίαν, ἤλπιζεν εἶναι μέγιστος· ὀλίγαις δ' ὕστερον ἡμέραις τῶν στρατιωτῶν ἐπὶ τοὺς πολεμίους βαδιζόντων, ἐτύγχανεν ὁ Εὐμένης, ἐκ νόσου τινὸς ἐπισφαλοῦς, ἐν φορείῳ κομιζόμενος ἔξω τοῦ στρατεύματος ἐν ἡσυχίᾳ διὰ τὰς ἀγρυπνίας. Μικρὸν προελθοῦσιν αὐτοῖς ἄφνω λόφους τινὰς ὑπερβαλόντες ἐξεφάνησαν οἱ πολέμιοι, καταβαίνοντες εἰς τὸ πεδίον. Ὡς οὖν αἵ τε τῶν χρυσῶν ὅπλων αὐγαὶ πρὸς τὸν ἥλιον ἐξέλαμψαν ἀπὸ τῶν ἄκρων τοῦ ἀγήματος ἐν τάξει πορευομένων, καὶ τῶν θηρίων τοὺς πύργους ἄνω καὶ τὰς πορφύρας εἶδον, ὅσπερ ἦν αὐτοῖς κόσμος εἰς μάχην ἀγομένοις, ἐπιστήσαντες οἱ πρῶτοι τὴν πορείαν, ἐβόων Εὐμένη καλεῖν αὐτοῖς· οὐ γὰρ ἂν προελθεῖν, ἐκείνου μὴ στρατηγοῦντος. Καὶ τὰ ὅπλα πρὸς τὴν γῆν ἐρείσαντες, ἀλλήλοις μένειν διεκελεύοντο, καὶ τοῖς ἡγεμόσιν ἡσυχίαν ἔχειν, καὶ χωρὶς Εὐμένους μὴ μάχεσθαι, μηδὲ κινδυνεύειν πρὸς τοὺς πολεμίους. Ἀκούσας δ' ὁ Εὐμένης, ἧκε πρὸς αὐτοὺς δρόμῳ, τοὺς κομίζοντας ἐπιταχύνας, καὶ τοῦ φορείου τὰς ἑκατέρωθεν αὐλαίας ἀνακαλύψας, προὔτεινε τὴν δεξιὰν γεγηθώς. Οἱ δ', ὡς εἶδον εὐθὺς ἀσπασάμενοι Μακε-

δονιστὶ τῇ φωνῇ, τάς τ' ἀσπίδας ἀνείλοντο, καὶ ταῖς σαρίσσαις ἐπιδουπήσαντες, ἠλάλαξαν, προκαλούμενοι τοὺς πολεμίους, ὡς τοῦ ἡγεμόνος αὐτοῖς παρόντος.

XV Ἀντίγονος δὲ, παρὰ τῶν ἁλισκομένων ἀκούων τὸν Εὐμένη νοσεῖν καὶ κομίζεσθαι κακῶς διακείμενον, οὐ μέγα ἔργον ἡγεῖτο συντρίψαι τοὺς ἄλλους, ἐκείνου νοσοῦντος. Διὸ καὶ σπεύδων ἐπὶ τὴν μάχην προσῆγεν. Ὡς δὲ τῶν πολεμίων εἰς τάξιν καθισταμένων παρελάσας κατεῖδε τὸ σχῆμα καὶ τὴν διακόσμησιν, ἐκπλαγεὶς ἐπέστη πλείω χρόνον· εἶτ' ὤφθη τὸ φορεῖον ἀπὸ θατέρου κέρως ἐπὶ θάτερον διαφερόμενον. Γελάσας οὖν ὁ Ἀντίγονος, ὥσπερ εἰώθει, μέγα, καὶ πρὸς τοὺς φίλους εἰπών· Τοῦτ' ἦν τὸ φορεῖον, ὡς ἔοικε, τὸ ἀντιπαραταττόμενον ἡμῖν, εὐθὺς ἀπῆγε τὴν δύναμιν ὀπίσω, καὶ κατεστρατοπέδευσεν. Οἱ δὲ, μικρὸν ἀναπνεύσαντες, αὖθις ἐδημαγωγοῦντο, καὶ τοῖς ἡγεμόσιν ἐντρυφῶντες, σχεδὸν ὅλην εἰς τὰ χειμάδια κατενείμαντο τὴν Γαβηνῶν· ὥστε τοὺς ἐσχάτους τῶν πρώτων ἀποσκηνοῦν ὁμοῦ τι χιλίους σταδίους. Ταῦτα γνοὺς ὁ Ἀντίγονος, ὥρμησεν ἐξαίφνης ἐπ' αὐτοὺς ὑποστρέψας, χαλεπὴν ὁδὸν καὶ ἄνυδρον, σύντομον δὲ καὶ βραχεῖαν ἐλπίζων, εἰ διεσπαρμένοις ἐπιπέσοι περὶ τὰ χειμάδια, μηδ' ἂν συνελθεῖν ἔτι τὸ πλῆθος ῥᾳδίως εἰς ταὐτὸ τοῖς στρατηγοῖς. Ἐμβαλόντι δ' εἰς γῆν ἀοίκητον αὐτῷ, πνεύματά τε δεινὰ καὶ κρύη μεγάλα διελυμαίνετο τὴν πορείαν, ἐνοχλουμένου τοῦ στρατεύματος. Ἦν οὖν ἀναγκαία βοήθεια,

НБ ОНУ імені І.І. Мечникова

πυρὰ πολλὰ καίειν. Ὅθεν οὐκ ἔλαθε τοὺς πολεμίους, ἀλλὰ τῶν βαρβάρων οἱ τὰ βλέποντα πρὸς τὴν ἀοίκητον ὄρη νεμόμενοι, θαυμάσαντες τὸ τῶν πυρῶν πλῆθος, ἔπεμψαν ἱππαστρίαις καμήλοις ἀγγέλους πρὸς Πευκέσταν. Ὁ δ', ὡς ἤκουσεν αὐτός τε παντάπασιν ἔκφρων ὑπὸ δέους γενόμενος, καὶ τοὺς ἄλλους ὁρῶν ὁμοίως ἔχοντας, ὥρμητο φεύγειν, ἀναστήσας τοὺς καθ' ὁδὸν ὄντας αὐτοῖς μάλιστα τῶν στρατιωτῶν. Εὐμένης δὲ τὴν ταραχὴν ἀφῄρει καὶ τὸν φόβον, ὑπισχνούμενος ἐπιστήσειν τῶν πολεμίων τὸ τάχος, ὥστε τρισὶν ὕστερον ἡμέραις, ἢ προσδοκῶνται, παραγενέσθαι. Πεισθέντων δ' αὐτῶν, ἅμα μὲν ἀγγέλους περιέπεμπε, τὰς δυνάμεις ἐκ τῶν χειμαδίων καὶ τοὺς ἄλλους ἀθροίζεσθαι κατὰ τάχος κελεύων· ἅμα δ' αὐτὸς ἐξιππασάμενος μετὰ τῶν ἄλλων ἡγεμόνων, καὶ τόπον ἐξ ἀπόπτου καταφανῆ τοῖς ὁδεύουσι τὴν ἔρημον περιβαλόμενος, καὶ διαμετρήσας, ἐκέλευε πυρὰ πολλὰ καίειν ἐν διαστήμασιν, ὥσπερ οἱ στρατοπεδεύοντες. Γενομένου δὲ τούτου, καὶ τῶν πυρῶν τοῖς περὶ Ἀντίγονον ἐκ τῆς ὀρεινῆς καταφανέντων, ἄχος ἔσχε καὶ δυσθυμία τὸν Ἀντίγονον, οἰόμενον ᾐσθημένους ἔκπαλαι τοὺς πολεμίους ἀπαντᾶν. Ἵν' οὖν μὴ κατάκοπος καὶ τετρυμένος ἐκ πορείας ἀναγκάζηται μάχεσθαι πρὸς ἀνθρώπους ἑτοίμους καὶ καλῶς κεχειμακότας, προέμενος τὴν σύντομον, ἦγε διὰ κωμῶν καὶ πόλεων, καθ' ἡσυχίαν ἀναλαμβάνων τὸ στράτευμα. Μηδενὸς δ' ἐμποδὼν ὄντος, ὥσπερ εἰώθεν, ἀντικαθημένων πολεμίων, τῶν δὲ περιχώρων



НБ ОНУ імені І. І. Мечникова

λεγόντων, στράτευμα μηδὲν ὦφθαι, πυρῶν δὲ κεκαυμένων μεστὸν εἶναι τὸν τόπον, ᾔσθετο κατεστρατηγημένος ὑπ' Εὐμένους, καὶ βαρέως φέρων προσῆγεν, ὡς φανερᾷ μάχῃ κριθησόμενος.

XVI. Ἐν τούτῳ δὲ τῆς δυνάμεως περὶ τὸν Εὐμένη τὸ πλεῖστον ἠθροισμένον ἐθαύμαζε τὴν σύνεσιν αὐτοῦ, καὶ μόνον ἐκέλευεν ἄρχειν· ἐφ' ᾧ λυπούμενοι καὶ φθονοῦντες οἱ τῶν ἀργυρασπίδων ἡγεμόνες, Ἀντιγένης καὶ Τεύταμος, ἐπεβούλευον αὐτῷ· καὶ τοὺς πλείστους τῶν τε σατραπῶν καὶ τῶν στρατηγῶν συναγαγόντες, ἐβουλεύοντο, πότε χρὴ καὶ πῶς τὸν Εὐμένη διαφθεῖραι. Συνδόξαν δὲ πᾶσιν ἀποχρήσασθαι πρὸς τὴν μάχην αὐτῷ, μετὰ δὲ τὴν μάχην εὐθὺς ἀνελεῖν, Εὔδαμος, ὁ τῶν ἐλεφάντων ἡγεμὼν καὶ Φαίδιμος ἐξαγγέλλουσι κρύφα τῷ Εὐμένει τὰ δεδογμένα, δι' εὔνοιαν μὲν οὐδεμίαν, ἢ χάριν, εὐλαβούμενοι δὲ, μὴ τῶν χρημάτων, ἃ δεδανείκεσαν αὐτῷ, στερηθῶσιν. Εὐμένης δὲ τούτους μὲν ἐπῄνεσεν, εἰς δὲ τὴν σκηνὴν ἀπελθὼν, καὶ πρὸς τοὺς φίλους εἰπὼν, ὡς ἐν πανηγύρει θηρίων ἀναστρέφοιτο, διαθήκας ἔγραψε· καὶ τὰ γραμματεῖα κατέσχισε καὶ διέφθειρεν, οὐ βουλόμενος, αὐτοῦ τελευτήσαντος, ἐκ τῶν ἀπορρήτων αἰτίας καὶ συκοφαντήματα τοῖς γράψασι γενέσθαι. Ταῦτα διοικησάμενος, ἐβουλεύετο τὴν νίκην παρεῖναι τοῖς ἐναντίοις, ἢ φυγὼν διὰ Μηδίας καὶ Ἀρμενίας ἐμβαλεῖν εἰς Καππαδοκίαν. Οὐδὲν δὲ κυρώσας, τῶν φίλων παρόντων, ἀλλ' ἐπὶ πολλὰ τῇ γνώμῃ, πολυτρόπῳ παρὰ τὰς τύχας οὔσῃ,

κινήσας αὐτὸν, ἐξέταττε τὴν δύναμιν, τοὺς μὲν Ἕλληνας καὶ τοὺς βαρβάρους παρορμῶν, ὑπὸ δὲ τῆς φάλαγγος καὶ τῶν ἀργυρασπίδων αὐτὸς παρακαλούμενος θαῤῥεῖν, ὡς οὐ δεξομένων τῶν πολεμίων. Καὶ γὰρ ἦσαν οἱ πρεσβύτατοι τῶν περὶ Φίλιππον καὶ Ἀλέξανδρον, ὥσπερ ἀθληταὶ πολέμων ἀήττητοι καὶ ἀπτῶτες εἰς ἐκεῖνο χρόνου, πολλοὶ μὲν ἑβδομήκοντα ἔτη γεγονότες, νεώτερος δ᾽ οὐδεὶς ἑξηκονταετοῦς. Διὸ καὶ τοῖς περὶ τὸν Ἀντίγονον ἐπιόντες ἐβόων· „Ἐπὶ τοὺς πατέρας ἁμαρτάνετε, ὦ κακαὶ κεφαλαί;" Καὶ μετ᾽ ὀργῆς ἐμπεσόντες ὅλην ὁμοῦ τὴν φάλαγγα συνέτριψαν, οὐδενὸς ὑποστάντος αὐτοὺς, τῶν δὲ πλείστων ἐν χερσὶ διαφθαρέντων. Ταύτῃ μὲν οὖν ὁ Ἀντίγονος ἡττᾶτο κατὰ κράτος· τοῖς δ᾽ ἱππεῦσιν ἐπεκράτει, τοῦ Πευκέστου παντάπασιν ἐκλελυμένως καὶ ἀγεννῶς ἀγωνισαμένου· καὶ τὴν ἀποσκευὴν ἔλαβε πᾶσαν, αὐτῷ τε νήφοντι χρησάμενος παρὰ τὰ δεινὰ, καὶ τοῦ τόπου συνεργοῦντος. Ἀχανὲς γὰρ ἦν τὸ πεδίον, οὔτε βαθύτερον, οὔτ᾽ ἀπόκροτον καὶ στερεὸν, ἀλλὰ θινῶδες, καὶ μεστὸν ἁλμυρίδος αὐχμηρᾶς, ἣ, τοσούτων μὲν ἵππων, τοσούτων δ᾽ ἀνθρώπων, ξαινομένη δρόμοις ὑπὸ τὸν τῆς μάχης καιρὸν, ἐξήνθει κόνιν, ὥσπερ ἄσβεστον, ἀπολευκαίνουσαν τὸν ἀέρα καὶ τὰς ὄψεις διαθολοῦσαν. Ἧι καὶ ῥᾴδιον λαθὼν ὁ Ἀντίγονος τῆς ἀποσκευῆς τῶν πολεμίων ἐκράτησεν.

XVII. Παυσαμένης δὲ τῆς μάχης, εὐθὺς οἱ περὶ τὸν Τεύταμον ἐπρεσβεύοντο περὶ τῆς ἀποσκευῆς.

Ἀντιγόνου δὲ καὶ ταύτην ἀντιδώσειν ὑπισχνουμένου τοῖς ἀργυράσπισι, καὶ τἄλλα χρήσεσθαι φιλανθρώπως, εἰ παραλάβοι τὸν Εὐμένη, βούλευμα δεινὸν οἱ ἀργυράσπιδες ἐβουλεύσαντο, ἐγχειρίσαι ζῶντα τοῖς πολεμίοις τὸν ἄνδρα. Καὶ πρῶτον μὲν ἀνυπόπτως προσεπέλαζον αὐτῷ, καὶ παρεφύλαττον, οἱ μὲν ἀποδυρόμενοι περὶ τῆς ἀποσκευῆς, οἱ δὲ θαῤῥεῖν, ὡς νενικηκότα, κελεύοντες, οἱ δὲ τῶν ἄλλων ἡγεμόνων κατηγοροῦντες. Ἔπειτα προσπεσόντες ἐξήρπασαν τὸ ἐγχειρίδιον αὐτοῦ, καὶ τῇ ζώνῃ τὰς χεῖρας ἀποστρέψαντες ἔδησαν. Ἐπεὶ δ᾽ ὑπ᾽ Ἀντιγόνου Νικάνωρ ἐπέμφθη παραληψόμενος αὐτὸν, ἐδεῖτο λόγου τυχεῖν ἀγόμενος διὰ τῶν Μακεδόνων, οὐκ εἰς δέησιν, ἢ παραίτησιν, ἀλλ᾽ ὡς περὶ τῶν ἐκείνοις συμφερόντων διαλεξόμενος. Γενομένης δὲ σιωπῆς, ἐν ὑψηλῷ τινι καταστὰς, καὶ τὰς χεῖρας δεδεμένας προτείνας· „Ποῖον (εἶπεν), ὦ κάκιστοι Μακεδόνων, τρόπαιον Ἀντίγονος ἐθελήσας ἂν ἔστησε καθ᾽ ὑμῶν, οἷον ὑμεῖς καθ᾽ αὑτῶν ἀνίστατε, τὸν στρατηγὸν αἰχμάλωτον ἐκδιδόντες; Οὐκ ἄρα δεινὸν ἦν, κρατοῦντας ὑμᾶς ἥτταν ἐξομολογεῖσθαι διὰ τὰς ἀποσκευὰς, ὡς ἐν τοῖς χρήμασιν, οὐκ ἐν τοῖς ὅπλοις τοῦ κρατεῖν ὄντος· ἀλλὰ καὶ τὸν ἡγεμόνα πέμπετε λύτρον τῆς ἀποσκευῆς; Ἐγὼ μὲν οὖν ἀήττητος ἄγομαι, νικῶν τοὺς πολεμίους, ὑπὸ τῶν συμμάχων ἀπολλύμενος· ὑμεῖς δὲ, πρὸς Διὸς στρατίου καὶ θεῶν ὁρκίων, ἐνταῦθά με δι᾽ αὑτῶν κτείνατε. Πάντως κἀκεῖ κτεινόμενος, ὑμέτερον ἔργον εἰμί. Μέμψεται

ου οὐδὲν Ἀντίγονος· νεκροῦ γὰρ Εὐμένους δεῖται, καὶ οὐ ζῶντος. Εἰ δὲ φείδεσθε τῶν χειρῶν, ἀρκέσει τῶν ἐμῶν ἡ ἑτέρα λυθεῖσα πρᾶξαι τὸ ἔργον. Εἰ δ' οὐ πιστεύετέ μοι ξίφος, ὑποῤῥίψατε τοῖς θηρίοις δεδεμένον. Καὶ ταῦτα πράξαντας ὑμᾶς ἀφίημι τῆς ἐπ' ἐμοὶ δίκης, ὡς ἄνδρας ὁσιωτάτους καὶ δικαιοτάτους περὶ τὸν αὑτῶν στρατηγὸν γενομένους."

XVIII. Ταῦτα τοῦ Εὐμένους λέγοντος, τὸ μὲν ἄλλο πλῆθος ἄχει κατείχετο, καὶ κλαυθμὸς ἦν· οἱ δ' ἀργυράσπιδες ἄγειν ἐβόων, καὶ μὴ φλυαροῦντι προσέχειν· οὐ γὰρ εἶναι δεινὸν, εἰ Χεῤῥονησίτης ὄλεθρος οἰμώξεται μυρίοις γυμνάσας πολέμοις Μακεδόνας, ἀλλ' εἰ τῶν Ἀλεξάνδρου καὶ Φιλίππου στρατιωτῶν οἱ κράτιστοι, τοσαῦτα καμόντες, ἐν γήρᾳ στέρονται τῶν ἐπάθλων, καὶ τροφὴν παρ' ἑτέρων λαμβάνουσιν, αἱ δὲ γυναῖκες αὐτῶν ἤδη τρίτην νύκτα τοῖς πολεμίοις συγκαθεύδουσιν. Ἅμα δ' ἦγον αὐτὸν ἐπιταχύνοντες. Ἀντίγονος δὲ, δείσας τὸν ὄχλον, (ἀπελείφθη γὰρ οὐδεὶς ἐν τῷ στρατοπέδῳ) δέκα τοὺς κρατιστεύοντας ἐλέφαντας ἐξέπεμψε, καὶ λογχοφόρους συχνοὺς, Μήδους καὶ Παρθυαίους, διακρουσομένους τὸ πλῆθος. Εἶτ' αὐτὸς μὲν ἰδεῖν οὐχ ὑπέμεινε τὸν Εὐμένη διὰ τὴν προγεγενημένην φιλίαν καὶ συνήθειαν· πυνθανομένων δὲ τῶν παρειληφότων τὸ σῶμα, πῶς φυλάξουσιν· Οὕτως, εἶπεν, ὡς ἐλέφαντα, ἢ ὡς λέοντα. Μετὰ μικρὸν δὲ, συμπαθὴς γενόμενος, τῶν τε δεσμῶν τοὺς βαρεῖς ἐκέλευσεν ἀφελεῖν, καὶ παῖδα παραδέξασθαι τῶν συνήθων, ὅπως ἀλείφαιτο· καὶ

НБ ОНУ імені І.І. Мечникова

τῶν φίλων ἐφῆκε τῷ βουλομένῳ συνδιημερεύειν, καὶ κομίζειν τὰ ἐπιτήδεια. Βουλευόμενος δὲ περὶ αὐτοῦ πλείονας ἡμέρας, προσήγετο καὶ λόγους καὶ ὑποσχέσεις Νεάρχου τε τοῦ Κρητὸς καὶ Δημητρίου τοῦ υἱοῦ, φιλοτιμουμένων τὸν Εὐμένη σῶσαι, τῶν δ' ἄλλων ὁμοῦ τι πάντων ἐνισταμένων καὶ κελευόντων ἀναιρεῖν. Λέγεται δὲ, τὸν Εὐμένη τοῦ φυλάσσοντος αὐτὸν, Ὀνομάρχου, πυθέσθαι, τί δήποτ' Ἀντίγονος ἐχθρὸν ἄνδρα καὶ πολέμιον λαβὼν ὑποχείριον, οὔτ' ἀποκτίννυσι ταχέως, οὔτ' εὐγενῶς ἀφίησι· τοῦ δ' Ὀνομάρχου πρὸς ὕβριν εἰπόντος, ὡς οὐ νῦν, ἀλλ' ἐπὶ τῆς μάχης, ἔδει πρὸς θάνατον ἔχειν εὐθαρσῶς· Καὶ μὰ τὸν Δία, φάναι τὸν Εὐμένη, καὶ τότ' εἶχον. Ἐροῦ δὲ τοὺς εἰς χεῖρας ἐλθόντας· ἀλλ' οὐδενὶ κρείττονι προστυχὼν οἶδα. Καὶ τὸν Ὀνόμαρχον· Οὐκοῦν ἐπεὶ νῦν, φάναι, τὸν κρείττονα εὕρηκας, τί οὐκ ἀναμένεις τὸν ἐκείνου καιρόν;

XIX. Ὡς δ' οὖν ἔδοξε τῷ Ἀντιγόνῳ τὸν Εὐμένη κτείνειν, ἐκέλευσεν αὐτοῦ τὴν τροφὴν ἀφελεῖν. Καὶ δύο μὲν ἡμέρας, ἢ τρεῖς, ἄσιτος οὕτω προσήγετο πρὸς τὴν τελευτήν. Αἰφνίδιον δ' ἀναζυγῆς γενομένης, εἰσπέμψαντες ἄνθρωπον, ἀποσφάττουσιν αὐτόν. Τὸ δὲ σῶμα τοῖς φίλοις παραδοὺς ὁ Ἀντίγονος, ἐπέτρεψε καῦσαι, καὶ τὰ λείψανα συνθέντας εἰς ἀργυρᾶν ὑδρίαν, κομίζειν ἀποδοθησόμενα τῇ γυναικὶ καὶ τοῖς παισίν. Οὕτω δ' ἀποθανόντος Εὐμένους, οὐκ ἐπ' ἄλλῳ τινὶ τὴν τιμωρίαν

НБ ОНУ імені І.І. Мечникова

ἐποιήσατο τῶν προδόντων αὐτὸν ἡγεμόνων καὶ στρατιωτῶν τὸ δαιμόνιον, ἀλλ' αὐτὸς Ἀντίγονος προβαλλόμενος ὡς ἀσεβεῖς καὶ θηριώδεις τοὺς ἀργυράσπιδας, παρέδωκεν Ἰβυρτίῳ, τῷ διοικοῦντι τὴν Ἀραχωσίαν, πάντα τρόπον ἐκτρίψαι καὶ καταφθεῖραι κελεύσας, ὅπως μηδεὶς αὐτῶν εἰς Μακεδονίαν ἄπεισι, μηδ' ὄψεται τὴν Ἑλληνικὴν θάλατταν.



НБ ОНУ імені І.І.Мечникова

# COMPARATIO SERTORII CVM EVMENE.

Ταῦτ' ἔστιν, ἃ περὶ Εὐμένους καὶ Σερτωρίου μνήμης ἄξια παρειλήφαμεν. Ἐν δὲ τῇ συγκρίσει κοινὸν μὲν ἀμφοτέροις ὑπάρχει τὸ ξένους καὶ ἀλλοδαποὺς καὶ φυγάδας ὄντας, ἐθνῶν τε παντοδαπῶν, καὶ στρατευμάτων μαχίμων τε καὶ μεγάλων δυνάμεων ἡγουμένους διατελεῖν. Ἴδιον δὲ Σερτωρίῳ μὲν τὸ παρὰ πάντων τῶν συμμάχων δεδομένην ἔχειν διὰ τὸ ἀξίωμα τὴν ἀρχήν· Εὐμένει δὲ τὸ, πολλῶν διαφερομένων περὶ τῆς ἡγεμονίας πρὸς αὐτὸν, ἐκ τῶν πράξεων λαμβάνειν τὸ πρωτεῖον· καὶ τῷ μὲν, ἄρχεσθαι βουλόμενοι, δικαίως εἵποντο, τῷ δ', ἄρχειν μὴ δυνάμενοι, πρὸς τὸ συμφέρον ὑπήκουον. Καὶ γὰρ ὁ μὲν Ἰβήρων καὶ Λυσιτανῶν, Ῥωμαῖος, ὁ δὲ, Χερρονησίτης, Μακεδόνων ἦρχεν· ὧν οἱ μὲν ἔκπαλαι Ῥωμαίοις ἐδούλευον, οἱ δὲ τότε πάντας ἀνθρώπους ἐδουλοῦντο. Καὶ Σερτώριος μὲν ἀπὸ βουλῆς καὶ στρατηγίας θαυμαζόμενος, Εὐμένης δὲ διὰ τὴν γραμ-

НБ ОНУ імені І.І. Мечникова

ματείαν καταφρονούμενος ἐφ᾽ ἡγεμονίαν προῆλθεν. Οὐ μόνον τοίνυν ἐλάττοσι πρὸς τὴν ἀρχὴν ἀφορμαῖς, ἀλλὰ καὶ μείζοσι πρὸς τὴν αὔξησιν ἐχρήσατο κωλύμασιν Εὐμένης. Καὶ γὰρ ἄντικρυς τοὺς ἐνισταμένους, καὶ κρύφα τοὺς ἐπιβουλεύοντας εἶχε πολλούς· οὐχ ὥσπερ τῷ ἑτέρῳ φανερῶς μὲν οὐδεὶς, λάθρα δὲ ὕστερον καὶ ὀλίγοι τῶν συμμάχων ἐπανέστησαν. Διὸ τῷ μὲν ἦν πέρας τοῦ κινδυνεύειν τὸ νικᾷν τοὺς πολεμίους· τῷ δ᾽ ἐκ τοῦ νικᾷν ὁ κίνδυνος ὑπὸ τῶν φθονούντων.

II. Τὰ μὲν οὖν κατὰ τὴν στρατηγίαν ἐφάμιλλα καὶ παράλληλα· τῷ δ᾽ ἄλλῳ τρόπῳ, φιλοπόλεμος μὲν ὁ Εὐμένης καὶ φιλόνεικος, ἡσυχίας δὲ καὶ πρᾳότητος οἰκεῖος ὁ Σερτώριος. Ὁ μὲν γὰρ, ἀσφαλῶς καὶ μετὰ τιμῆς βιοῦν ἐξὸν, ἐκποδὼν γενομένῳ, τοῖς πρώτοις μαχόμενος καὶ κινδυνεύων διετέλεσε· τῷ δ᾽, οὐδὲν δεομένῳ πραγμάτων, ὑπὲρ αὐτῆς τῆς τοῦ σώματος ἀσφαλείας πρὸς οὐκ ἐῶντας εἰρήνην ἄγειν ἦν ὁ πόλεμος. Εὐμένει μὲν γὰρ Ἀντίγονος, ἐκστάντι τῶν ὑπὲρ τοῦ πρωτεύειν ἀγώνων, ἡδέως ἂν ἐχρῆτο τὴν μετ᾽ αὐτὸν ἀγαπῶντι τάξιν· Σερτωρίῳ δὲ οἱ περὶ Πομπήϊον οὐδὲ ζῆν ἀπραγμόνως ἐπέτρεπον. Διὸ τῷ μὲν ἑκοντὶ συνέβαινε πολεμεῖν ἐπ᾽ ἀρχῇ, τῷ δ᾽ ἀκουσίως ἄρχειν διὰ τὸ πολεμεῖσθαι. Φιλοπόλεμος μὲν οὖν ὁ τῆς ἀσφαλείας τὴν πλεονεξίαν προτιμῶν· πολεμικὸς δὲ ὁ τῷ πολέμῳ κτώμενος τὴν ἀσφάλειαν. Καὶ μὴν ἀποθανεῖν γε συνέβη τῷ μὲν οὐ προαισθομένῳ· τῷ δὲ καὶ προσδεχομένῳ τὴν τελευ-

НБ ОНУ ім. І. І. Мечникова

τήν. Ὧν τὸ μὲν ἐπιεικείας· φίλοις γὰρ ἐδόκει πιστεύειν· τὸ δ᾽ ἀσθενείας· βουλόμενος γὰρ φυγεῖν, συνελήφθη. Καὶ τοῦ μὲν οὐ κατῄσχυνε τὸν βίον ὁ θάνατος, πάσχοντος ὑπὸ τῶν συμμάχων, ἃ τῶν πολεμίων αὐτὸν οὐδεὶς ἐποίησεν· ὁ δέ, φεύγειν μὲν πρὸ αἰχμαλωσίας μὴ δυνηθείς, ζῆν δὲ μετ᾽ αἰχμαλωσίαν βουληθείς, οὔτ᾽ ἐφυλάξατο καλῶς τὴν τελευτήν, οὔθ᾽ ὑπέμεινεν, ἀλλὰ προσλιπαρῶν καὶ δεό-
…οῦ σώματος μόνου κρατεῖν δοκοῦντα τὸν πο-
… καὶ τῆς ψυχῆς αὐτοῦ κύριον ἐποίησεν.

1948

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова